ΑΔ. Ἀναγινώσκω ἐν τοῖς τελευταίοις τῆς πρὸς Κολοσσαεῖς 25 *Παύλου· Ἀσπάζεται ὑμᾶς, φησίν, Ἀρίσταρχος, ὁ συναιχμάλωτός μου, καὶ Μᾶρκος, ὁ ἀνεψιὸς Βαρνάβα, περὶ οὗ ἐλάβετε ἐντολὰς ἵνα ἔλθῃ πρὸς ὑμᾶς· δέξασθε οὖν αὐτόν· καὶ Ἰησοῦς ὁ λεγόμενος Ἰοῦστος, οἱ ὄντες ἐκ περιτομῆς. οὗτοι μόνοι μού εἰσι συνεργοὶ εἰς τὴν βασιλείαν τοῦ θεοῦ, οἵτινες ἐγε-* 30 *νήθησάν μοι παρηγορία, καὶ τὰ ἑξῆς. ἀσπάζεται ὑμᾶς Λουκᾶς καὶ Δημᾶς. παρέσχον τὰς ἀποδείξεις τῆς ἐπιστολῆς. ὁρᾷς ὅτι καὶ*
b *αὐτὸς ὁ ἀπόστολος μαρτυρεῖ αὐτοῖς.*

ΕΥΤΡ. Δήλη ἡ περὶ τούτων ἀπόδειξις.

ΜΕΓ. Ἐγὼ ἐλέγχω ἑτέρωθεν ὅτι φάλσα ἐστὶ τὰ εὐαγγέλια. λέγει 35 *γὰρ ὁ ἀπόστολος Ἓν εὐαγγέλιον, ὑμεῖς δὲ τέσσαρα λέγετε.*

13] Le. 6: 14, 16: 1. — **25—30**] Col. 4: 10, 11. — **30,31**] Col. 4: 14.

1 *οὐ* < alle HSS. Humfr.: *non consignata*, Pic.: *non scripta*, C in mg.: *λείπει μή*, H in mg. *μή*. Wettst. conj. *οὐ γεγρ.* | **4** *οὐ καλῶς*] *οὐκ ἄλλως* C | **5** *πιστευθῆναι* C | **11** *οβ΄*] In C ist der Buchst. *β΄* nach *ο* ausgemerzt | **13** *πρῶτον*? **15** *εὐηγγελίσαντο* d. HSS. | **19** *φάλσῳ*] *πλαστῷ* F | **27** *ὑμᾶς*] *ἡμᾶς* B¹FH Pic. Humfr. Per. | **33** *παρὰ* d. HSS. | **34** *φάλσα*] *πλαστὰ* F.

ipso quod falsa sunt approbantur. Cur enim illi discipuli, quorum nomina in euangelio scripta sunt, euangelia non scripserunt, sed alii, nescio qui, ⟨qui⟩ nec fuerunt discipuli? Quis est Lucas, aut quis est Marcus? Et ideo de ipsis nominibus manifesto iudicio falsa esse vestra euangelia convincuntur.

Eutr. d.: Si discipulos habuit Christus, certum est quod ipsis magis conscribendi euangelia dare debuerit potestatem, quam his qui discipuli non erant. Hoc mihi ⟨non⟩ sanum videtur. Opportuerat enim discipulos eius magis auctoritatem legendi posteris dare.

Ad. d.: Et isti discipuli sunt Christi.

Meg. d.: Fac legi euangelium et inuenies quia nomina ista inter discipulos Christi scripta non sunt.

Eutr. d.: Legatur euangelium.

Ad. d.: Duodecim discipulorum tantummodo lecta sunt nomina, non enim septuaginta ⟨duorum⟩.

Eutr. d.: Quantos habuit Christus discipulos?

Ad. d.: Primum duodecim et postea septuaginta duos, quos misit euangelizare. Marcus et Lucas ex illis sunt septuaginta duobus, qui cum apostolo Paulo euangelium praedicarunt.

Meg. d.: Impossibile est. Nemo probat quod isti viderint Paulum.

Ad. d.: Ostendo ipsum Paulum Marco et Lucae testimonium dantem.

Meg. d.: Tuo falso codici non credo.

Ad. d.: Profer tuum apostoli codicem; licet sit undique circumrosus, inde tamen ostendo quia Marcus et Lucas socii et adiutores erant Pauli.

Meg. d.: Ostende.

Ad. d.: Lego in ultimis partibus epistolae Pauli ad Colossenses: *Salutat uos*, inquit, *Aristarchus, concaptiuus meus, et Marcus, consobrinus Barnabae, de quo accepistis mandata, ut, si uenerit ad uos, suscipiatis eum, et Iesus, qui dicitur Iustus, qui sunt ex circumcisione. Isti enim soli sunt adiutores mei in regno dei qui mihi solatio fuerunt.* Et reliqua. Et iterum: *Salutat uos Lucas et Demas.* Ex his igitur scriptis manifestum est quia ipse apostolus Paulus eis testimonium praebet.

Eutr. d.: Euidens est de his probatio.

c. **VI.** *Meg. d.*: Ego ostendo quia falsa sunt euangelia. Dicit enim apostolus quia unum est euangelium, uos autem quatuor dicitis.

Ad. d.: Euangelistae quatuor sunt, euangelium autem unum est.

3 »Qui« fehlt im Cod. | **8** non fehlt im Cod. — B | **15** »Duorum« fehlt im Cod. | **19** Cod. euangelia | **21** Cod. dante | **27** Cod. consobrinus meus. »Meus« ist aber als irrig unterstrichen | **29** Der Cod. »Jesum«, durch Einfluss des vorhergehenden »eum«. Der griech. Text und die neutest. St. Ἰησοῦς, »Jesus« | **32** Nach »testimonium« ist im Cod. »eis« wiederholt.

ΑΔ. Εὐαγγελισταὶ μὲν τέσσαρες, εὐαγγέλιον δὲ ἕν, ἕνα γὰρ Χριστὸν εὐηγγελίσαντο καὶ τὸ αὐτὸ ἔφρασαν. εἰ μὲν οὖν ἕκαστος αὐτῶν ἄλλον καὶ ἄλλον Χριστὸν ἀνηγόρευσεν ἢ εὐηγγελίσατο, εὖ λέγεις· εἰ δὲ οἱ τέσσαρες περὶ ἑνὸς Χριστοῦ λέγουσιν, οὐκέτι τέσσαρα ἀλλὰ ἕν.

ΜΕΓ. Ὁ ἀπόστολος οὐκ εἶπε· κατὰ τὰ εὐαγγέλιά μου, ἀλλά· κατὰ τὸ εὐαγγέλιόν μου. ἴδε πῶς λέγει ἓν εἶναι. καὶ λέγει· εἴ τις ὑμᾶς εὐαγγελίσεται παρ' ὃ εὐηγγελισάμεθα ὑμῖν, ἀνάθεμα ἔστω. ἐκείνου λέγοντος ἓν εἶναι, πῶς ὑμεῖς τέσσαρα λέγετε;

ΑΔ. Εὐαγγέλιον καὶ ἡμεῖς φαμεν ἕν, εὐαγγελισταὶ δὲ τέσσαρες.

ΜΕΓ. Οὐδὲ τέσσαρες εὐαγγελισταὶ ἀλλ' [οὐδὲ] εἷς· λέγει γὰρ ὅτι· οὐκ ἔστιν ἄλλο κατὰ τὸ εὐαγγέλιόν μου, εἰ μή τινές εἰσιν οἱ ταράσσοντες ὑμᾶς καὶ θέλοντες μεταστρέψαι εἰς ἕτερον εὐαγγέλιον τοῦ Χριστοῦ.

ΑΔ. Παύλου λέγοντος πλείους εἶναι τοὺς εὐαγγελιστάς, πῶς φὴς ἕνα εἶναι;

ΜΕΓ. Οὐκ εἶπεν ὅτι πολλοὶ εὐαγγελισταί. |

S 808 *ΑΔ. Ἔχω μετὰ χεῖρας τὸν ἀπόστολον καὶ δείκνυμι λέγοντα ἐν τῇ πρὸς Γαλάτας ἐπιστολῇ· ἀλλὰ κἂν ἡμεῖς ἢ ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίσηται ὑμῖν παρ' ὃ εὐηγγελισάμεθα. εὐηγγελισάμεθα εἶπεν, εἰ γὰρ εἷς ἦν, ἔλεξεν ἄν· παρ' ὃ εὐηγγελισάμην· τὸ δὲ εὐηγγελισάμεθα πολλοὺς σημαίνει.*

ΕΥΤΡ. Τὸ εὐηγγελισάμεθα πολλῶν ἐστὶ καὶ οὐχ ἑνός.

ΜΕΓ. Οὐ τούτους λέγει ἀλλὰ Σιλουανὸν καὶ Τιμόθεον.

ΕΥΤΡ. Τὸ πρότερον λέγων Παῦλον μόνον εἶναι εὐαγγελιστήν, νῦν καὶ ἄλλους ὡμολόγησας. ἐξὸν οὖν καὶ τοὺς λοιποὺς μαθητὰς εὐαγγελίσασθαι. εἰ γὰρ Σιλουανὸς καὶ Τιμόθεος καὶ Παῦλος εὐηγγελίσαντο, λέγει δὲ Παῦλος· κατὰ τὸ εὐαγγέλιόν μου, εἰκὸς πολλῶν ὄντων εὐαγγελιστῶν ἓν λέγεσθαι τὸ εὐαγγέλιον.

6] 2 Tim. 2: 8, Rom. 2: 16, 16: 25. — **7/8**] Gal. 1: 9, 8. — **11—13**] Gal. 1: 7. — **18/19**] Gal. 1: 8.

4 *οἱ* + BFH | **10** *οὐδὲ τέσσαρες* alle HSS., de la Rue aus Versehen *οὐδὲ οἱ τ.*, und so auch Migne u. Lommatzsch | *οὐδὲ* vor *εἷς* habe ich getilgt, obgleich es in allen HSS. steht, vgl. Ruf. Humfr.: *immo vero unus* | **11** Ruf. + *θαυμάζω — εὐαγγέλιον* aus Gal. 1: 6. Ob das der Originaltext ist, lässt sich nicht entscheiden | **19** Das zweite *εὐηγγελισάμεθα* fehlt in d. HSS. Es findet sich bei Ruf. Humfr. Per. Wettst. hat es in den Text aufgenommen | **21** Ruf. + *Et iterum — evangelistae.* Es ist sehr wahrscheinlich, dass Ruf. den gr. Text erweitert und demzufolge das *τὸ εὐηγγελισάμεθα*, das nicht gut mehr passte, in *Haec omnia* geändert hat. Im gr. T. hängt alles besser zusammen, da die Beweisführung »Der Plural *εὐηγγελισάμεθα* weist auf mehrere Evangelisten hin« nicht von anderen Citaten unterbrochen wird. Auffallend ist auch, dass Ad., indem er sagt, er citiere aus Marcions Apostolicum, bei Ruf. eine Stelle aus einem Briefe anführt, der gar nicht in Marcions Apostolicum stand, aus dem Briefe an Timotheus | **25** *ὁμολογήσας* BFH.

Unum enim Christum omnes annuntiant, et omnes eadem dicunt. Nam si unusquisque eorum alium et alium Christum praedicaret vel annuntiaret, bene haec diceres. Si uero toti quatuor de uno Christo loquuntur, non sunt quatuor, sed unum est euangelium.

Meg. d.: Apostolus non dixit: Secundum euangelia mea, sed *secundum euangelium meum.* Vides quomodo unum dicit esse. Et iterum dicit: *Si uobis quis aliter euangelizauerit, anathema sit.* Cum ergo ille dicit unum esse, quomodo uos quatuor dicitis?

Ad. d.: Euangelium etiam nos unum dicimus, sed euangelistas quatuor.

Meg. d.: Neque euangelistae sunt quatuor, sed unus. Dicit enim apostolus: (*Miror quod sic tam cito transferimini in aliud euangelium*) *quod non est aliud, nisi sunt qui uos conturbant et uolunt peruertere euangelium Christi.*

Ad. d.: Paulo dicente plures esse euangelistas, quomodo tu dicis unum esse?

Meg. d.: Non dixit quia multi sunt euangelistae.

Ad. d: In manibus habemus apostolum, et probo eum dicentem in epistola ad Galatas: *Sed et si nos*, inquit, *aut angelus de coelo euangelizauerit uobis praeterquam quod euangelizauimus uobis, anathema sit.* Uides ergo quia *euangelizauimus* dixit. Si enim *euangelizaui* dixisset, de se solo dixisse uideretur. Nunc autem dicens: *euangelizauimus*, plures indicat euangelistas. (Et iterum dicit apostolus: *Ita et Dominus disposuit his qui euangelium annuntiant, ut de euangelio uiuant*, et non dixit: *huic qui euangelium annuntiat.* Et iterum, cum ipse esset euangelista, scribit Timotheo: *Opus fac euangelistae.*)

Eutr. d.: Haec omnia euidenter euangelistas multos indicant et non unum.

Meg. d.: Non dicit de istis, sed de Siluano et Timotheo.

Eutr. d.: Primo dicebas solum Paulum esse euangelistam, nunc autem etiam alios confessus es. Licet ergo, ut uideo, etiam alios discipulos in euangelistarum numero suscipi. Si enim Siluanus et Timotheus et Paulus euangelistae sunt, dicit autem ipse Paulus: *Quod euangelizauimus uobis*, uerisimile uidetur recipi debere, plures esse euangelistas, sed unum esse euangelium.

2 »Unus« in »unusquisque« steht im Cod. über der Zeile. Ob es vom Schreiber selbst oder von einem Anderen herrührt, ist schwer zu entscheiden | Cod. »praedi carent«, aber mit unterstrichenem »n« | **7** »nobis« statt »uobis« druckt Caspari irrtümlich. — B | **23/24** 1 Cor. 9: 14 | **26** 2 Tim. 4: 5 | **33** Cod. »qui« statt »quod«; Caspari setzt statt »quod euangelizauimus uobis« des Folgenden wegen »secundum evangelium meum« in den Text; allein aus dem »quod« konnte das »unum euangelium« gefolgert werden. Eine Abweichung vom Original erlaubt sich Rufin öfters. — B.

ΜΕΓ. Διαφωνοῦσι τὰ εὐαγγέλια καὶ ἄλλα καὶ ἄλλα λέγουσιν, ὅθεν φαίνεται φάλσα.

ΑΔ. Ἄλλον καὶ ἄλλον Χριστὸν εὐαγγελίζονται; ἐν τούτῳ οἴει διαφωνεῖν;

ΜΕΓ. Οὐκ, ἀλλ' ἀντίκεινται.

ΑΔ. Ὅρισαι ὃ βούλει. νοητὰς εἶναι λέγεις τὰς γραφὰς ἢ ψιλάς; καί, ἐὰν βούλῃ, φράσον, ἵνα οὕτως ἡ ἐξέτασις γένηται.

ΜΕΓ. Ψιλάς, καὶ ὅσπερ γέγραπται οὕτως ἔχει καὶ οὐδὲν ἄλλο.

ΑΔ. Λέγει οὖν ὁ Χριστὸς ὅτι· υἱὸς ἀνθρώπου εἰμί· υἱὸς ἀνθρώπου ἐστὶ κατὰ σέ, καὶ οὐ θεοῦ;

ΜΕΓ. Ὁ Χριστὸς θεοῦ ἐστιν υἱός.

ΕΥΤΡ. Ἔφης τὰ γεγραμμένα οὕτως ἔχειν· πῶς οὖν ἐστιν υἱὸς θεοῦ, ἑαυτὸν λέγων υἱὸν ἀνθρώπου;

ΜΕΓ. Παραβολῇ ἐχρήσατο λέγων υἱὸν ἀνθρώπου.

ΕΥΤΡ. Παραβολὴ νοητή ἐστιν ἢ αἰσθητή;

ΜΕΓ. Νοητή.

ΕΥΤΡ. Πῶς οὖν ἔφης ψιλὰ εἶναι τὰ τῶν γραφῶν; οὐκοῦν νοητά ἐστι καὶ οὐ ψιλά. (καὶ εἰς ὃ δοκοῦσι τῇ λέξει διαφωνεῖν ὁ νοῦς ὁ αὐτὸς εὑρίσκεται*).

ΜΕΓ. Τὰ μὲν νοητά, τὰ δὲ ψιλά.

ΕΥΤΡ. Δοκεῖς μοι ἀστάτῳ γνώμῃ φέρεσθαι.

ΜΕΓ. Ὅπου παραβολὴ ἐπιγέγραπται, ἐκεῖνά ἐστι νοητά, τὰ δὲ ἄλλα ψιλά.

ΑΔ. Δεικνύεις οὖν ὅτι περὶ τοῦ υἱοῦ τοῦ ἀνθρώπου παραβολὴ ἐπιγέγραπται; ἀνάγνωθι ὅτι οὐκ ἐπιγέγραπται παραβολή. (πόθεν οὖν δεικνύεις ὅτι υἱὸς θεοῦ ἐστι; τῶν δύο γὰρ θάτερον ὁμολογήσεις.) κατὰ γὰρ τὰ σοὶ δόξαντα ἢ ψευστὴς εὑρίσκεται ὁ Χριστός, ὅτι μὴ ὢν ἄνθρωπος ἑαυτὸν ἔλεγεν υἱὸν ἀνθρώπου, ἢ νοηταί εἰσι πᾶσαι αἱ θεῖαι γραφαί, εἰ καὶ μὴ ἐπιγέγραπται παραβολή· [διὸ καὶ πᾶσα θεόπνευστος εἴρηται παρὰ τοῦ ἀποστόλου·] καὶ ἐν νοῒ αὐτῶν ἡ συμφωνία εὑρίσκεται [ἢ νοηταί εἰσι πᾶσαι αἱ γραφαί], καὶ οὐκ ἤδη τὰ γεγραμμένα ψιλὰ ταῦτ' ἐστὶ τὰ ἀληθῆ καὶ σαφῆ.

9] Lc. 5: 24 und öfter. — **29/30**] 2 Tim. 3: 16.

1 *ἄλλα καὶ ἄλλα*] Migne: »Forte eiciendum istud *καὶ*, utpote redundans«. Gewiss unrichtig, vgl. in der nächsten Zeile *ἄλλον καὶ ἄλλον Χριστὸν*, 810b *ἄλλον καὶ ἄλλον θεὸν* | **2** *φάλσα*] *πλαστὰ* F | **5** *ἀντίκεινται* ABCFH, die übr. *ἀντίκειται* | **18** *οὐ* hat schon Wettst. richtig conj., vgl. Ruf., < alle HSS. | *καὶ εἰς — εὑρίσκεται* < Ruf. Dieser hat hier wohl abgekürzt | **29/30** *διὸ — ἀποστόλου* in allen HSS., < Ruf. Es hat allen Anschein, dass diese Worte nicht echt, sondern eine Randbemerkung sind | **31** *ἢ — γραφαί*] mit Recht von Wettst. getilgt. Von einem Abschreiber aus einer vorangehenden Zeile wiederholt.

c. **VII.** *Meg. d.*: Discrepant ipsa euangelia et diuersa dicunt, unde et falsa credenda sunt.

Ad. d.: Alium et alium Christum annuntiant et idcirco ea discrepare dicis?

Meg. d.: Non, sed contraria sibi inuicem dicunt.

Ad. d.: Defini quod uis. Spiritalem dicis esse sensum scripturis an purum et historicum, nec aliud aliquid intrinsecus continentem? Unum quod uis statue, ut ita demum possit quaestionis ordo procedere.

Meg. d.: Puras dico et hoc tantum quod scriptum est habere nec quicquam aliud.

Ad. d.: Quid ergo est quod dicit Christus quia filius hominis sit? Si filius hominis est, secundum te dei filius non erit.

Meg. d.: Filius dei est.

Eutr. d.: Sed definisti quia quae scripta sunt sic debeant intellegi, ut scripta sunt. Quomodo ergo est filius dei, qui se ipsum dicit filium hominis esse?

Meg. d.: Parabola usus est, dicens se esse filium hominis.

Eutr. d.: Parabola spiritalem intellectum habet, an historicum?

Meg. d.: Spiritalem.

Eutr. d.: Quomodo ergo dicis non esse spiritalem scripturam? Spiritalis ergo est et non pura et historica.

Meg. d.: Quaedam spiritalia habet, quaedam sic simpliciter dicta.

Eutr. d.: Uideris mihi inconstantis esse sententiae.

Meg. d.: Ubi scriptum est esse parabolas, illa spiritalia sunt, cetera uero historica.

Ad. d.: Ostendis ergo quia de filio hominis scriptum est »parabola«? Nusquam hoc scriptum est, et ideo secundum te aut mendax inuenitur qui se ipsum filium hominis dicit, cum non sit filius hominis, aut necesse est spiritaliter intellegi scripturas et non ita suscipi, quae scripta sunt, sicut scripta sunt.

26 »Scriptum esse parabola« mit »ẽ« = »est« über der Zeile bietet der Cod.; Caspari will »scriptum est esse parabolam«. — B.

ΜΕΓ. Δείξω ὅτι ἔν ἐστι τὸ εὐαγγέλιον.

ΑΔ. Τίς ἐστιν ὁ γράψας τὸ εὐαγγέλιον τοῦτο ὃ ἔφης εἶναι ἕν;

ΜΕΓ. Ὁ Χριστός.

ΑΔ. Αὐτὸς ὁ κύριος ἔγραψεν ὅτι ἐσταυρώθη καὶ ἀνέστη τῇ τρίτῃ ἡμέρᾳ; οὕτω γράφει;

e *ΜΕΓ.* Ὁ ἀπόστολος Παῦλος προσέθηκεν.

ΑΔ. Παρῆν γὰρ Παῦλος ἐν τῷ σταυρωθῆναι τὸν Χριστόν;

ΜΕΓ. Αὐτὸς ἔγραψε τὸ εὐαγγέλιον ἁπλῶς.

ΑΔ. Ἐὰν οὖν δείξω ὅτι οὐ παρῆν, ἀλλὰ καὶ μετὰ ταῦτα ἐδίωκε τοὺς τῆς ἐκκλησίας, γίνῃ Χριστιανός;

ΜΕΓ. Οὐ γάρ εἰμι Χριστιανός;

809 *ΑΔ.* Πῶς εἶ Χριστιανός, | ὃς οὐδὲ ὄνομα Χριστιανοῦ κατηξίωσαι φέρειν; οὐ γὰρ Χριστιανὸς ὀνομάζῃ ἀλλὰ Μαρκιωνιστής.

ΜΕΓ. Καὶ ὑμεῖς τῆς καθολικῆς λέγεσθε· οὐκ ἐστὲ οὖν Χριστιανοὶ οὔτε ὑμεῖς.

ΑΔ. Εἰ ἀνθρώπου τὴν προσωνυμίαν ἐκεκτήμεθα, καλῶς ἔλεξας, εἰ δὲ διὰ τὸ καθ' ὅλου τοῦ κόσμου εἶναι λεγόμεθα, τί ἐν τούτῳ φαῦλον; δεῖξον οὖν εἰ [οὐκ] ἔξεστιν ὄνομα ἀνθρώπου φέρειν· ἐγὼ δείκνυμι οὐ μόνον ἐπισκόπου μὴ ἐξὸν εἶναι φέρειν ὄνομα, ἀλλὰ μηδ' ἀποστόλου. τίς μείζων ἦν, Μαρκίων ἢ Παῦλος;

ΜΕΓ. Παῦλος.

ΑΔ. Ἄκουε οὖν, εἰ βούλει, τοῦ διενηνοχότος Παύλου προστάσσοντος· ἤκουσταί μοι, φησίν, ὑπὸ τῶν Χλόης ὅτι ἔριδες εἰσὶν
b ἐν ὑμῖν· ὃς μὲν γὰρ ὑμῶν λέγει· ἐγὼ μέν εἰμι Παύλου, ἐγὼ δὲ Ἀπολλῶ, ἐγὼ δὲ Κηφᾶ. μεμέρισται ὁ Χριστός; (μὴ Παῦλος ἐσταυρώθη ὑπὲρ ὑμῶν, ἢ εἰς τὸ ὄνομα Παύλου ἐβαπτίσθητε;)

ΜΕΓ. Σύ μοι ἐπιφέρεις τὸ ὄνομα· ἐγὼ Χριστιανὸς λέγομαι, καὶ γὰρ ὧδε λέγονται Σωκρατιανοί τινες.

ΑΔ. Ἐγὼ τὸ Σωκράτους ὄνομα ἀρνοῦμαι, οὐκ εἰδὼς τίς ἐστιν.

ΕΥΤΡ. Εἰ ἀλλήλοις ἐπιφέρετε τὰ ὀνόματα, ἀνάγκη ἀμφοτέρους ἀρνήσασθαι.

ΑΔ. Οὔτε οἶδα τίς ἐστι Σωκράτης, ἀρνεῖται καὶ οὗτος Μαρκίωνα;

ΜΕΓ. Μαρκίων ἐπίσκοπός μου ἦν.

810 *ΑΔ.* Ἐξ ὅτου Μαρκίων ἐτελεύτησε, τοσούτων ἐπισκόπων, | μᾶλλον

23—27 1 Cor. 1: 11—13.

4 *ἐσταυρώθην* u. *ἀνέστην* d. HSS. | **17** *καθόλου* BC | Vielleicht *καθολικοὶ λεγόμεθα* | **18** In der Einteilung der Rede folgte ich Ruf. Die HSS. haben: *Μεγ. Δεῖξον — φέρειν. Ἀδ. κτἑ.* | *οὐκ* < A^1B^1 | *ἔξεστιν*] *ἔστιν* CEG | *ἐγὼ*] *ἔτι* d. HSS., vgl. Ruf. | **25—27** *μὴ — ἐβαπτίσθητε* < Ruf. | **35** *ἐξ ὅτε* B^1.

c. **VIII.** *Meg. d.*: Ostendam quia unum est euangelium.

Ad. d.: Quis est qui scripsit istud ipsum quod solum ais esse euangelium?

Meg. d.: Christus.

Ad. d.: Et ipse de se Christus scripsit quia crucifixus est et resurrexit a mortuis tertia die?

Meg. d.: Paulus apostolus hoc addidit.

Ad. d.: Aderat enim Paulus, cum crucifigeretur Christus?

Meg. d.: Ipse scripsit euangelium.

Ad. d.: Si ergo ostendero quia non solum non aderat sed et post haec persequebatur credentes, eris Christianus?

Meg. d.: Non sum enim Christianus?

Adam. d.: Quomodo Christianus es, qui nec nomen Christiani habere dignus habitus es? Non enim Christianus diceris, sed Marcionista.

Meg. d.: Et uos catholici dicimini. Ergo non estis Christiani.

Ad. d.: Si hominis uocabulo uteremur, bene diceres; si uero pro eo quod per omnem mundum sumus, idcirco catholici dicimur, quid in ista appellatione uidetur esse culpabile? Tu mihi ostende si licet hominis alicuius nomine censeri: ego autem ostendam quia non solum episcopi alicuius appellatione cognominari non licet discipulos, sed ne apostoli quidem. Quis maior est apud te, Marcion an Paulus?

Meg. d.: Paulus.

Ad. d.: Audi ergo, si tibi uidetur, quid Paulus, qui Marcione praestantior est, praecepit. *Perlatum est enim mihi*, inquit, *de uobis ab his qui sunt Chloes quia contentiones sunt in uobis, et alius dicit: Ego sum Pauli, alius: Ego Apollo, alius: Ego Cephae. Diuisus est Christus?*

Meg. d.: Ego Christianus dicor; sed si tu mihi nomen hominis obicis, et ego possum de te dicere quia et tu Socratianus es.

Ad. d.: Ego Socratis nomen abnuo et denego.

Eutr. d.: Si uobis invicem nomina impingitis, necesse est utrumque uestrum haec nomina ipsa, quae uobis obicitis, abnegare.

Ad. d.: Ego nescio quis sit Socrates; neget et ipse ita Marcionem.

Meg. d.: Marcion episcopus meus fuit.

Ad. d.: Ex quo defunctus est Marcion, tot episcopi, immo pseudoepiscopi apud uos fuerunt. Cur nullius eorum uocabulo utimini, sed solius Marcionis qui et schisma ab ecclesia primus fecit?

17 quid in ista] Im Cod. steht »quod in ista«. Dem »o« ist aber — wie es scheint von der Hand des Schreibers — ein »i« übergeschrieben | **19** Cod. episcopali cuius. »Ali« in »episcopali« gehört zu »cuius«, und das zweite »i« von »episcopi« ist dadurch ausgefallen, dass »ali« mit »episcopi« falsch verbunden ward. | **26** Im Cod. fehlt »alius« vor »ego Apollo« und »ego« zwischen »alius« und »Cephae« | **32** quis] Cod. quid.

δὲ ψευδεπισκόπων, παρ' ὑμῖν διαδοχὰ γεγόνασι· διὰ τί μὴ τῇ τῶν διαδόχων ἐπωνυμίᾳ κέκλησθε, ἀλλὰ τῇ τοῦ σχισματοποιοῦ Μαρκίωνος;

EVTP. Τοῦ ἀποστόλου Παύλου αἰτιωμένου διὰ τὸ τινὰς ἐπ' ὀνόματος αὐτοῦ ἢ Ἀπολλὼ ἢ Κηφᾶ φέρεσθαι, δείκνυται μὴ δεῖν ὀνόματι ἐπισκόπου κεχρῆσθαι· δεῖ γὰρ μᾶλλον τῷ διαφέροντι ὀνόματι προσπελάσαι ἢ τῷ ἥττονι.

ΜΕΓ. Ἐάν μοι συγχωρήσητε εἰπεῖν, δείξω ὅτι καὶ τρεῖς ἀρχαὶ εἰσίν, καὶ ὅτι ἄλλος ἐστὶν ὁ τοῦ νόμου θεὸς καὶ ἕτερος θεὸς ὁ πονηρός, καὶ ἀπὸ τῶν ὑμετέρων γραφῶν δείξω ὅτι οὕτως ἔχει.

EVTP. Πρότερον δειχθήτω εἰ τρεῖς ἀρχαί, εἰ τρεῖς φύσεις, καὶ τότε φανήσεται ἡ ἑκάστου διοίκησις.

ΑΔ. Δεῖξον ὅτι τρεῖς εἰσιν ἀρχαί, καὶ τότε λέγε ὃ βούλει.

ΜΕΓ. Δεικνύω ὅτι ὁ δημιουργὸς ἄλλα ἐνομοτέθησε, καὶ ὁ Χριστὸς ἐναντία τούτου.

ΑΔ. Διὰ τὸ διαφόρους καὶ ἐναντιουμένους τοὺς νόμους ὑπονοεῖν σε, διὰ τοῦτο οἴει ἄλλον καὶ ἄλλον θεὸν εἶναι;

ΜΕΓ. Καὶ μάλα· ἑαυτῷ οὐδείς ποτε ἐναντιοῦται οὐδὲ ἀντίκειται, ὥσπερ ἀντίκειται τὸ εὐαγγέλιον τῷ νόμῳ.

ΑΔ. Τὸν δημιουργὸν θεὸν ἔφης τῶν Ἰουδαίων εἶναι, μόνος καὶ εἷς ἐστιν ἢ πολλοί;

ΜΕΓ. Εἷς, ὁ τῶν Ἰουδαίων.

ΑΔ. Οὐδενὸς εἰκὸς μικροῦ παραδείγματος ἅψασθαι πρὸς τὸ συνετώτερον γενέσθαι τὸ λεγόμενον. ὃν τρόπον γυνὴ τεκοῦσα παιδίον, οὐ πρότερον τελείαν τούτῳ προσκομίζει τὴν τροφήν, ἀλλὰ γαλακτο-

2 τῇ hinzugefügt mit CFH | **8** Es fällt auf dass Megethius, der drei *ἀρχαὶ* annimmt, nur zwei Götter aufzählt, mehr noch, dass er vom guten Gotte gänzlich schweigt, da er doch, wie die folgenden Reden beweisen, die Absicht hatte den Unterschied zwischen dem Gotte des Gesetzes und dem Gotte des N. T. darzulegen. Ruf. hat st. *πονηρὸς*: *bonus*. Deshalb muss man vermuten, dass »*πονηρὸς*« Verschreibung ist st. *ἀγαθὸς*, oder vielmehr, dass zwischen *νόμου θεὸς* u. *καὶ* Worte ausgefallen sind, z. B.: *καὶ ἄλλος ὁ ἀγαθὸς θεὸς*. Ebenso folgen *ἄλλος*, *ἄλλος*, *ἕτερος* 805a. 810d | **9** D. gr. HSS.: *ἡμετέρων*. Mit Recht hat Zahn, Gesch. d. N. T. Kan. II 2 S. 421 Anm. 2. *ὑμετέρων* verbessert | **10** *εἰ τρ. φυσ.*] Pic.: *et tres naturae*, Wettst. verm. *ἢ τρ. φυσ.* | **22** Die Stelle *οὐδενὸς εἰκὸς κτἑ.* ist zweifellos verdorben. Die Übers. des Ruf. »*Puto absurdum non videri*« führt zu der Konjektur: *Οὐδὲν ἀπεικὸς*. Aber auch so kommen wir nicht aus. Auch *μικροῦ* ist mir verdächtig. Ich kann nl. nicht einsehen, warum dieses Beispiel *μικρὸν* heissen soll — an Ironie ist doch nicht zu denken — und meine, dass die gleichartige Stelle 839d uns das richtige Wort bietet. Man lese also: *οὐδὲν ἀπεικὸς κοσμικοῦ παραδείγματος ἅψασθαι*, d. h.: Es ist gar nicht unziemlich, ein Beispiel anzuführen, das dem irdischen Leben entlehnt ist | **24** *πρότερον* Gale bei Wettst. conj. *πρῶτον*. Unnötig | *τούτῳ* FH. Schon Wettst. vermutete es. Die and. HSS. u. d. Ausgg. *τοῦτο*.

Eutr. d.: Cum Paulus apostolus culpat quosdam quod ex nomine suo, uel Apollo, uel Cephae appellentur, ostenditur quia non liceat episcoporum nominibus compellari; dignius namque est eminentioris nominis quam inferioris appellatione censeri.

c. **IX.** *Meg. d.*: Si mihi concedatur dicere, facillime ostendo quia tres sunt principatus, et quia alius est legis deus, alius est bonus. Etiam de uestris scripturis ostendere possum quia ita se habet.

Eutr. d.: Prius ostendatur si tres sunt principatus, id est tres naturae, et tunc apparebit uniuscuiusque diuersitas vel opus.

Ad. d.: Ostende quia tres sunt principatus, et tunc dicito quod uoles.

Meg. d.: Ostendo quod creator aliam legem dedit et Christus aliam illi contrariam.

Ad. d.: Igitur pro eo quod diuersas leges esse suspicaris, propterea putas etiam alium et alium deum?

Meg. d.: Et ualde! nemo enim unquam sibi contrarius fuit, sicut contrarium est euangelium legi.

Ad. d.: Creator deus, quem dixisti Iudaeorum esse, unus est solus, an sunt alii plures?

Meg. d.: Unus est, qui legem dedit, deus Iudaeorum.

Ad. d.: Puto absurdum non uideri si utamur etiam similitudinem quandam, ut fiat eorum quae dicimus manifestior intellectus. Mulier, cum genuerit filium, nonne prius lacte eum alit et postmodum, cum adoleuerit, solidioribus cibis? Et non puto quod ex hoc iudicetur ab aliquo contraria sibi facere mulier, quae prius lacte paruulo ubera propinauit, post exinde iam adulto robustiores praebuit cibos. Nouit et apostolus Paulus secundum profectum singulorum etiam leges hominibus promulgare, cum dicit: *Lac uobis potum dedi, non escam; nondum enim poteratis, sed nec adhuc quidem potestis; adhuc enim estis carnales.* Simili ergo modo etiam Deus secundum profectum mentium dedit hominibus leges. Adae quidem tanquam paruulo aliter dedit legem, aliter uero Noae, aliter Abrahae, aliter per Moysen populo Israel. Per euangelium quoque tanquam iam mundi maiorem

16 Cod. euuangelium | **20** Cod. similitude quandam | **24** Casp. mulierem. — B | **25** Cod. robustioris | **26** Casp. conj.: promulgari. Unnötig. — B | **31** Cod. euangelia | Cod. »tanquam iam mundi maiorem profectum«, was keinen Sinn giebt. Der hier notwendige Gedanke und das vorangehende »secundum profectum mentium« fordern »secundum« nach »tanquam« oder möglicherweise auch statt dieses Wortes, welches aus dem folgenden »si tanquam hominem« durch Versehen heraufgekommen sein und den Ausfall von »secundum« verursacht haben kann (»tanquam secundum iam mundi« oder »secundum iam mundi cet.« konnte Ruf. doch nicht schreiben. In »iam« steckt m. E. ein Fehler. — B).

τροφεῖ, καὶ μετέπειτα μείζοσι καὶ ἰσχυροτέροις κέχρηται βρώμασι — οἶδε γὰρ καὶ ὁ ἀπόστολος Παῦλος κατὰ προκοπὴν νομοθεσίας τοῖς ἀνθρώποις προσάγειν, λέγων· γάλα ὑμᾶς ἐπότισα, οὐ βρῶμα, οὔπω γὰρ ἠδύνασθε, ἀλλ' οὐδ' ἔτι νῦν δύνασθε, ἔτι γὰρ σαρκικοί ἐστε — τὸν αὐτὸν τρόπον καὶ ὁ θεός· κατὰ γὰρ αὔξησιν τοῖς
d ἀνθρώποις ἐνομοθέτησεν, ἄλλα τῷ Ἀδὰμ ὡς νηπίῳ, ἄλλα τῷ Νῶε, ἄλλα τῷ Ἀβραάμ, ἕτερα διὰ Μωσέως καὶ ἄλλα διὰ τοῦ εὐαγγελίου κατὰ προκοπὴν ἀρχομένου τοῦ κόσμου καὶ μεσάζοντος καὶ τελειουμένου, τὸ τέλειον τῷ τελείῳ ταμιευσάμενος. ἵν' οὖν μὴ δόξῃς ἀσύ-
10 στατόν με τὸν λόγον ποιεῖσθαι, παρέξομαι τὰς ἀποδείξεις ὅπως ὁ αὐτὸς θεὸς ἀμφότερα ἐνομοθέτησε. προστάττει γὰρ τῷ Ἀβραὰμ φονεύειν αὐτοῦ τὸν υἱόν· μετὰ ταῦτα νομοθετεῖ διὰ Μωσέως μὴ δεῖν φονεύειν, ἀλλὰ τὸν δράσαντα ἀνδροκτονίαν, τοῦτον ἀντικτείνεσθαι. ἐπεὶ οὖν ὁ αὐτὸς δικαιοῖ φονεύειν καὶ μὴ φονεύειν, δύο ἐρεῖς εἶναι
15 θεοὺς καὶ ἠναντιωμένους ἀλλήλοις;

ΕΥΤΡ. Ὁ αὐτὸς κελεύει φονεύειν καὶ μὴ φονεύειν;

ΑΔ. Ὁ αὐτός, καὶ οὐ μόνον ἐν τούτῳ εὑρίσκεται ἀλλὰ καὶ ἐν πολλοῖς πολλάκις, καὶ ἐσθ' ὅτε μὲν νομοθετεῖ θυσίας καὶ ὁλοκαυτώματα αὐτῷ προσφέρεσθαι, καὶ πάλιν μὴ προσφέρεσθαι. ἀποκρινάσθω
20 οὖν εἰ ἄλλος ἐστὶν ὁ κελεύων σφάζεσθαι τὸν Ἰσαάκ, καὶ ἄλλος προστάττει μὴ φονεύειν καὶ θυσίας προσφέρεσθαι καὶ μὴ προσφέρεσθαι.

ΕΥΤΡ. ⟨Εἰ⟩ οὕτω περιέχεται ἐν τῇ γραφῇ, ποτὲ μὲν ἐπιτρέπειν θυσίαν προσκομίζειν, ποτὲ δὲ μὴ βούλεσθαι, τί λέγεις, Μεγέθιε; ὁ
811 αὐτός ἐστιν ὁ θεὸς ὁ | ἐνδιαλλάσσων τοὺς νόμους, ἢ δύο εἰσίν, (ὧν
25 ὡρίσω ἕνα τὸν δημιουργὸν εἶναι; καὶ οὐκέτι τρεῖς ἀρχαὶ ἀλλὰ τέσσαρες, καὶ οὐχ ἵσταται ὑμῶν τὸ δόγμα).

ΜΕΓ. Ὁ τῶν Ἰουδαίων ὁ αὐτός ἐστιν, ὁ δημιουργός, ὁ δὲ ἡμέτερος οὐκ ἔστιν αὐτοῦ υἱός.

ΑΔ. Ποία ἀπόδειξις τοῦ μὴ εἶναι τὸν Χριστὸν υἱὸν τοῦ δημι-
30 ουργοῦ;

ΜΕΓ. Ὅτι ὁ Χριστὸς ἀνέτρεψε τὰ τοῦ δημιουργοῦ, καὶ δείκνυμι ὅτι ἀνέτρεψε.

ΑΔ. Δεῖξον ὅτι ἀνέτρεψε.

3—5] 1 Cor. 3: 2, 3. — **11 f.**] Gen. 22. — **12 f.**] Exod. 20: 13, 21: 12.

2 *οἶδε*] *εἶδε* DE | **4** *ἐδύνασθε* AFH, *δύνασθε* B¹ | **7** In d. HSS. wechseln die Schreibweisen *Μωσῆς* u. *Μωυσῆς* ab. Ich folge BCDEH, die fast überall d. Buchst. *υ* auslassen | **22** *Εἰ*] Ruf.: *si habetur*, *εἰ* < d. HSS., vgl. Einl. § 4 am E. | *περιέχεται*] *περιέχειν* B¹, *ἔχει* FH, *περιέχον* ohne folg. *ἐν* A, *περιέχει* d. übr., Humfr.: *continetur*. Man könnte auch: *οὕτως ἔχει* vermuten, allein das »*habetur*« des Ruf. spricht für *περιέχεται* | *ἐπιτρέπειν* G, schon conj. v. Wettst., d. übr. HSS. *ἐπιτρέπει* | **24—26** *ὧν — δόγμα* < Ruf.

profectum alia est legislatio. Quid ergo inconsequens uidetur, si tanquam hominem a prima natiuitate usque ad senectutem, ita Deus omnem mundum incipientem a prima pueritia, tunc deinde, crescentem ad profectum, uenientem ad mediam ⟨aetatem⟩ et inde iam ad senectutis maturitatem perfectionemque properantem, unamquamque eius aetatem aptis et competentibus legibus dispensauit? Uerum ne me aestimetis haec absque testimoniis confirmare, ostendo haec scripta esse quomodo unus deus atque idem diuersa praecipiat. Iubet Deus Abrahae immolare filium suum; postea per Moysen prohibet omnino hominem iugulari, sed et comprehensum in hoc opere puniri iubet. Quia ergo nunc occidi filium iubet, nunc uero occidentem puniri, duos dicimus esse deos sibi contrarios?

Eutr. d.: Ipse iubet occidi, et ipse dicit: Non occides?

Ad. d.: Idem ipse. Et non solum in hoc ita inuenitur, sed et in multis aliis. Interdum enim offerri sibi sacrificia iubet, et iterum uetat. Aut dicat si non idem ipse est qui utrumque praecepit.

Eutr. d.: (Si*) habetur in scripturis ut aliquando iubeat offerri sacrificia, aliquando prohibeat, quid dices, Megethi: Idem ipse est deus, qui immutauit quae prius sanxerat, an duo sunt?

c. **X.** *Meg. d.*: Iudaeorum deus unus atque idem est, noster autem non est illius filius.

Ad. d.: Quomodo probatur Christum non esse filium creatoris?

Meg. d.: Quia Christus legem destruxit creatoris, et ostendo hoc ipsum.

Ad. d.: Ostende quia legem destruxit.

3 crescente — mediam] So der Cod. Schwerlich ganz richtig. Sollte »tunc deinde crescendo ad profectum« — oder auch »crescentem ad profectum et« — »venientem ad mediam aetatem« zu lesen sein? Doch lässt sich »crescente ad profectum« zur Not halten. Es kann nämlich »indem die Welt zum Fortschritt wächst« sein. Nur zu »mediam« muss notwendig »aetatem« hinzugefügt werden. (Man lese: crescentem ohne folgendes »et«. — B) | **9—11** Es scheint, als seien entweder vor »prohibet« die Worte »non solum« oder vor »sed et« Worte wie »verum non solum hoc prohibet«, oder »hoc facit« ausgefallen. Doch lässt sich, was der Text bietet, als Breviloquenz auffassen. (Das letztere ist gewiss das richtige, vgl. den gr. Text. — B) | **11** Dicemus? Der griech. Text ἐρεῖς | **17** Gr. οὕτως περ. κτἑ. Man könnte daher »sic« statt »si« lesen wollen (vgl. d. Anm. zu d. gr. T. — B) | **18** quid] Cod. quis | **20** noster] So der Cod. mit dem griech. Original. Nach dem folgenden: »Quomodo probatur Christum non esse filium creatoris?« und dem »sed Christus non est illius filius« weiter unten erwartet man »Christus«. (»noster« ist richtig. — B).

ΜΕΓ. Ὁ θεὸς τῆς γενέσεως ἐντέταλται Μωσεῖ ἐκβαίνοντι ἐκ γῆς Αἰγύπτου λέγων· Ἕτοιμοι γένεσθε, τὴν ὀσφὺν ἐζωσμένοι, τοὺς πόδας ὑποδεδεμένοι, τὰς ῥάβδους ἐν ταῖς χερσὶν ὑμῶν, τὰς πήρας ἔχοντες ἐφ' ἑαυτούς· χρυσὸν καὶ ἄργυρον καὶ τὰ ἄλλα
b πάντα ἀπενέγκασθε τῶν Αἰγυπτίων. ὁ δὲ κύριος ἡμῶν ὁ ἀγαθός, ἀποστέλλων τοὺς μαθητὰς αὐτοῦ εἰς τὴν οἰκουμένην, λέγει· μήτε ὑποδήματα ἐν τοῖς ποσὶν ὑμῶν, μήτε πήραν, μήτε δύο χιτῶνας, μήτε χαλκὸν ἐν ταῖς ζώναις ὑμῶν. Ἴδε πῶς τηλαυγῶς ὁ ἀγαθὸς τοῖς ἐκείνου ἐναντιοῦται δόγμασιν.

ΕΥΤΡ. Τὸ αὐτό μοι φαίνεται τοῦτο ὅπερ τὸ φονεύειν καὶ μὴ φονεύειν, καὶ τὸ διδόναι θυσίας καὶ μὴ διδόναι. ταὐτὸν οὖν ἐστι καὶ τὸ λαμβάνειν ἀργύριον καὶ πήραν, καὶ μὴ λαμβάνειν. ζητῶ δὴ τοῦτο
c εἰ, τοῦ δημιουργοῦ προστάξαντος τῷ Ἀβραὰμ φονεύειν τὸν υἱόν, ἄλλος ἐστὶν ὁ νομοθετήσας μὴ φονεύειν καὶ ἄλλος ὁ τῷ Ἀβραὰμ προστάξας.

(*ΑΔ.* Εἰ δὲ εἷς ἐστιν ὁ ταῦτα νομοθετήσας τὰ ἠναντιωμένα, ἅπερ αὐτὸς ἐδοκίμασεν εὖ ἔχειν, εἰ καὶ ἡμῖν δοκοῦσιν ἐναντία εἶναι, πῶς διὰ τὸ δοκεῖν ἠναντιῶσθαί τινα τῶν ἐν τῷ εὐαγγελίῳ ταῖς τοῦ νόμου προστάξεσι, δύο λέγεις εἶναι θεοὺς τοὺς προστάσσοντας, μὴ δείξας πῶς οὖν ὁ αὐτὸς τοῦ νόμου θεός, εἷς ὤν, εἶπε φονεύειν καὶ
d μὴ φονεύειν; εἰ δὲ ἑξὸν αὐτῷ ὡς θεῷ κατὰ καίρους ὃ βούλεται, μᾶλλον δὲ ὃ δοκιμάζει χρήσιμον, νομοθετεῖν, ὁ αὐτὸς δείκνυται ὁ προστάξας λαμβάνειν ἐφόδια τῆς ὁδοῦ καὶ μὴ λαμβάνειν. τὴν δὲ αἰτίαν τούτων ἐγὼ εἰπεῖν οὐκ ἔχω, τὰ δὲ πράγματα ὅμοια τυγχάνει.)

ΕΤΤΡ. Τί λέγεις, Μεγέθιε; ὁ αὐτὸς θεὸς εἷς ἐστιν, ἢ δύο ἐν τῷ νόμῳ ἐναντία προστάσσοντες;

ΜΕΓ. Οὗτος μὲν ὁ αὐτός, ὁ δὲ Χριστὸς οὐκ ἔστιν αὐτοῦ υἱός.

ΕΥΤΡ. Εἰ διὰ τὸ δοκεῖν ἐναντιοῦσθαι τὰς νομοθεσίας λέγεις ἄλλου υἱὸν εἶναι τὸν Χριστόν, πλάττῃ, Μεγέθιε, ἐδείχθη γὰρ ὁ αὐτὸς τὰ ἴδια ἀνατρέψας, ὡς καὶ αὐτὸς ὡμολόγηκας.

ΑΔ. Καὶ εἰ ἦν ὃ προέτεινε κεφάλαιον, ἐδεικνύετο ἑνὸς καὶ τοῦ

2/5] Exod. 12: 11, 3: 22, 11: 2, 12: 35. — **7/8**] Mt. 10: 9, Lc. 9: 3, 10: 4.

4 *τὰ* vor *ἄλλα* B, < d. übr. | **8** A¹BCD hier u. weiter: *δηλαγῶς* | **15—23** Bei Ruf. fehlt diese Rede und gehört *τί λέγεις M.* zu der vorhergehenden Rede des Eutr. Ob der gr. oder der lat. Text Original ist, lässt sich nicht mit Gewissheit bestimmen. Es kann sehr gut sein, dass Ruf. wie öfters (s. Einl. § 11) gekürzt hat. Befremdend jedoch ist der Schluss »*τὴν δὲ αἰτίαν ἐγὼ εἰπεῖν οὐκ ἔχω*«. Als der Verfasser S. 810c u. 811d—f schrieb, wusste er es ja ganz gut | **19** *οὖν* < AFH | **24** Bei Humfridus sind *ὁ αὐτὸς — προστάσσοντες* Worte des Ad. | **26** *ὁ αὐτός ἐστιν* A | **27** *νομοθείας* Migne | **30** *καὶ εἰ ἦν — θεοῦ* giebt m. E. keinen guten Sinn. Ich vermute, dass nach *κεφάλαιον* das Wort *ἐναντίον* ausgefallen ist, vgl. Ruf.; *ἐναντίον* hier u. in der folg. Z. = »in sich selbst streitig«; *ἐδεικνύετο* = *ἐδεικνύετο ἄν*. Aber der Satz bleibt dennoch unklar.

Meg. d.: Deus qui praedicatur in Genesi praecepit Moysi exeunti de Aegypto, dicens: *Parati estote! lumbi vestri praecincti sint et pedes calceati, et uirgae sint in manibus et perae super dorsum, et aurum uel argentum atque omnia Aegyptiorum auferte monilia.* Dominus autem noster, qui bonae naturae est, mittens discipulos suos in orbem terrarum, dicit: *Neque calciamentum in pedibus uestris sit, neque pera, neque uirga, neque duas tunicas habeatis, neque aes in zonis uestris.* Uides quam aperte ille, qui bonus est, illius legibus obuersatur.

Eutr. d.: Idem mihi uidetur hoc quod et illud: occidere et non occidere, et offerre hostias et non offerre, et accipere pecuniam et peram et non accipere. Hoc ergo requiro, cum creator praeceperit Abrahae occidere filium, si alius est in lege qui occidi prohibuit, et alius qui Abrahae filium iugulari praecepit. Quid dicis, Megethi? Unus est an duo?

Meg. d.: Hic quidem unus atque idem est, sed Christus non est illius filius.

Eutr. d.: Si pro eo, quod uidetur leges contrarias promulgare, alterius dicis esse filium Christum, ineptum est hoc, Megethi. Claruit etenim quomodo idem ipse leges proprias destruxit, sicut etiam tu confessus es

Ad. d.: Etiam si esset contrarium caput istud quod protulit legis euangeliorum praecepto, unus tamen esse deus posset ostendi. Uerum

3 Von dem in »*et perae super dorsum*« Ausgesagten findet sich in Exod. 12: 11 keine Spur. Es ist wohl aus Exod. 12: 34: *Et sumpsit populus conspersam farinam — et ligaverunt in vestimentis suis et imposuerunt super humeros suos*, und, was »*perae*« betrifft, aus Matth. 10: 10, Luc. 9: 3, 10: 4 geflossen. Auch »*virgae*« stammt aus dem N. T., Matth. 10: 10, Luc. 9: 3 | **6** sit] Cod. sint | **12** prohibuit] Cod. praecepit | **13** praecepit] Cod. prohibuit | **21** Cod. legem. Man könnte auch »ex lege« lesen oder »legem euangeliorum praecepto« für eine Glosse ansehen. Für das letztere liesse sich anführen, dass der gr. Text bloss: *καὶ εἰ ἦν ὃ προέτεινε κεφάλαιον* hat. (Eine Glosse kann »legem euangeliorum praecepto« nicht sein. — B.) Der Acc. »legem« scheint durch »protulit« hervorgerufen zu sein | **22** Cod. euuangeliorum. Doch ist das erste »u« unterstrichen | (unius tamen esse dei? — B).

e αὐτοῦ θεοῦ· ὅμως δὲ δείκνυμι μὴ εἶναι ἐναντίον τοῦτο ἀλλὰ διαφορὰς πραγμάτων. οἱ μὲν γὰρ ἀφ' Ἱερουσαλὴμ ὑπὸ Χριστοῦ πεμπόμενοι εἰρήνην εὐαγγελίσασθαι ἀπεστέλλοντο· οἱ δὲ ἐξ Αἰγύπτου πολέμῳ ἐδιώκοντο ὑπὸ τῶν ἰδίων [Χὰμ γὰρ παῖς οἰκέτης ἔσται τοῖς ἀδελ-
5 φοῖς αὐτοῦ, φησὶν ἡ γραφὴ περὶ τῶν υἱῶν τοῦ Νῶε, Σήμ, Χάμ, Ἰαφέθ. Χὰμ παῖς οἰκέτης ἔσται τῷ ἀδελφῷ αὐτοῦ] οἰκετῶν. ἔδει οὖν τοὺς οἰκέτας τοὺς τὸν πόλεμον αἱρησαμένους ὑπὸ πολέμου ἀναλωθῆναι· καὶ τὸ εὐαγγέλιον δὲ οἶδε τοὺς κακοὺς ἀμύνεσθαι καὶ φονεύειν. οὕτω γὰρ λέγει ὅτι· ἥξει ὁ κύριος τοῦ κακοῦ δούλου ἐν ἡμέρᾳ ᾗ οὐ
10 γινώσκει καὶ ἐν ὥρᾳ ᾗ οὐ προσδοκᾷ, καὶ διχοτομήσει αὐτὸν
f καὶ θήσει τὸ μέρος αὐτοῦ μετὰ τῶν ἀπίστων. ἐστὶ τοίνυν δίκαιον τοὺς πολεμοῦντας ἀδίκως ἀντιπολεμεῖσθαι δικαίως. οὕτω τοίνυν δίκαιον τοὺς εἰρήνην εὐαγγελισαμένους δίχα ὅπλων εὐαγγελίσασθαι. ἄλλως δὲ καὶ Ἡσαΐας ὁ προφήτης ἔλεγεν· ὡς ὡραῖοι οἱ
812 πόδες τῶν εὐαγγελιζομένων | εἰρήνην. ἦν δὲ καὶ παρὰ τῷ προφήτῃ δεδοκιμασμένος ὁ καιρὸς πότε τὰ ὅπλα συγκοπῆναι ἔδει, φήσαντος· ἐκ Σιὼν ἐξελεύσεται νόμος, καὶ λόγος κυρίου ἐξ Ἱερουσαλὴμ καὶ κρινεῖ ἀνὰ μέσον ἐθνῶν καὶ ἐλέγξει λαὸν πολύν, καὶ συγκόψουσι τὰς μαχαίρας αὐτῶν εἰς ἄροτρα καὶ
20 τὰς ζιβύνας αὐτῶν εἰς δρέπανα, καὶ οὐ μὴ λήψεται ἔθνος ἐπ' ἔθνος μάχαιραν, καὶ οὐ μὴ μάθωσιν ἔτι πολεμεῖν.

ΕΥΤΡ. Αὕτη οὐκ ἔστιν ἐναντίωσις ὁπότε ἐδείχθη καὶ ὁ Χριστὸς τοὺς κακοὺς ἀμυνόμενος, λέγων διχοτομεῖσθαι τὸν δοῦλον τὸν κακόν.

b *ΜΕΓ.* Ὁ προφήτης τοῦ θεοῦ τῆς γενέσεως, πολέμου συστάντος
25 πρὸς τὸν λαόν, ἀναβὰς ἐπὶ τὴν κορυφὴν τοῦ ὄρους, ἐξέτεινε τὰς χεῖρας αὐτοῦ πρὸς τὸν θεόν, ἵνα πολλοὺς τῷ πολέμῳ ἀνέλῃ· ὁ δὲ κύριος ἡμῶν, ἀγαθὸς ὤν, ἐξέτεινε τὰς χεῖρας αὐτοῦ οὐχὶ τοῦ ἀνελεῖν τοὺς ἀνθρώπους ἀλλὰ τοῦ σῶσαι. τί οὖν ὅμοιον; ὁ μὲν διὰ τῆς ἐκτάσεως τῶν χειρῶν ἀναιρεῖ, ὁ δὲ σῴζει.

30 *ΑΔ.* Ἀναγκαῖον ἂν εἴη ἀκριβῶς τὰς ἐκτάσεις ἀμφοτέρων δοκι-

4 5] Gen. 9: 25. — **6**] Gen. 9: 26. — **9—11**] Lc. 12: 46. — **14/15**] Jes. 52: 7. — **17—21**] Jes. 2: 3. 4. — **24 ff.**] Exod. 17: 8 ff.

1 ὅμως δὲ BCDEF, ὅμως δὴ d. übr. | **4—6** Χὰμ — αὐτοῦ ist zweifellos eine Randbemerkung, die sich in den Text verirrt hat; οἰκετῶν gehört zu ἰδίων. Dass Ruf. diese Worte nicht gekannt hat, ist offenbar. Er fand in den Worten des Ad. eine Anspielung auf die Herrschaft Josephs, was jedoch unmöglich gewesen wäre, wenn in seinem Exemplare Χὰμ γὰρ κτἑ. gestanden hätte. In späterer Zeit schrieb ein Leser beide Citate Gen. 9: 25 u. 26 in margine | **6** Vielleicht muss auch τοὺς οἰκέτας gestrichen werden | **11** ἀπίστων B^2C^1 w. e. sch., FHD in mg. G in mg. Pic. Humfr.; ἀπιόντων d. übr. u. d. Ausgg. Das richtige vermutete schon Wettstein | **15** d. HSS. u. Ausgg. ἦν δὲ παρὰ τῷ προφήτῃ καὶ | **16** ὁπότε? | **24** ὁ vor προφήτης < A | **27** ἅγιος d. HSS. | **30** ἐκτ. τῶν χειρῶν ἀμφ.?

docebo nunc non esse hoc contrarium, sed diuersum. Non enim statim, quod diuersum est aliud ab alio, continuo etiam contrarium dicitur. Isti ergo, qui ab Hierusalem mittebantur a Christo, pacem mittebantur annuntiare per populos; illi autem, qui ex Aegypto proficiscebantur, [et] praelio ab his, qui parentibus suis quondam famuli fuerant, urguebantur. Iustum ergo erat ut, quoniam beneficiorum ingrati insurrexerunt aduersus eos qui salutem quondam contulerant, et facultatibus nudarentur et uita. Nam et euangelium continet ultiones in ingratos et poenam mortis intentat. Denique ita dicit quia: *Ueniet dominus serui illius in die, qua nescit, et hora, qua non sperat, et diuidit eum ac partem eius cum infidelibus ponit.* Nihil ergo uidetur indignum eos, qui bellum intulerant iniuste, tanquam hostes belli legibus depraedatos. E contrario uero consequens erat ut hi, qui pacem mundo annuntiare mittebantur, absque armis et instrumentis aliquibus bellicis mitterentur. Denique etiam Esaias propheta ante multum tempus futura haec pronuntiabat, dicens: *Quam speciosi pedes euangelizantium pacem!* Sed tempus designat idem propheta futurum quando usus cessaret armorum, dicens: *De Sion exiet lex et uerbum domini ex Hierusalem. Et iudicabit in medio gentium et arguet populum multum, et confringent gladios suos in aratra et lanceas suas in falces, et non assumet gens aduersum gentem gladium nec discent ultra bellicare.*

Eutr. d.: Hoc non est contrarium, ubi ostenditur et Christus ulcisci in malos.

c. **XI.** *Meg. d.*: Propheta dei illius, qui refertur in lege, cum bellum populo illi esset illatum, ascendit super uerticem montis et extendit manus suas ad deum ut quamplurimi hostium prosternerentur in bello. Dominus autem noster, qui bonus est, extendit manus suas, non ut interimeret homines, sed ut saluaret. Quid ergo simile est, ubi alius extendit manus suas ad interitum, alius ad salutem?

Ad. d.: Conueniens uidetur diligenter extensionem manuum utrius-

2 Cod. ab aliquo | **5** Cod. qui et praelio. »Qui« ist durch Einfluss des vorangehenden »qui«: qui ex Aegypto proficiscebantur, und vielleicht auch des folgenden: »ab his qui« irrtümlich in den Text gekommen (l. [et] — B) | **6** insurrexerunt] Es ist nicht ganz sicher, ob der Cod. »insurrexerunt« oder »insurrexerant« hat | **10/11** Man erwartet »dividet« und »ponet« f. *διχοτομήσει, θήσει*. Doch stehen auch im Cod. aur. beide Verba im Praesens, während der Cod. Veron. wenigstens »ponit« hat. Möglich übrigens, dass das »i« in beiden nur auf der bekannten populären fehlerhaften Aussprache beruht | **15** Man erwartet »pronuntiavit« oder »pronuntiaverat« | **16** Die Worte »Quam speciosi — dicens« stehen am Rande. Im Texte steht ∴ als Zeichen, dass etwas ausgelassen ist | **24** In C.'s Ausg. bello. Wohl ein Druckfehler. — B | **28** Cod. extendet.

μάσαι. Μωσέως τε καὶ τοῦ Χριστοῦ, καὶ ἐὰν μὲν ὅμοιαι, εὖ ἂν ἔχοι. εἰ δὲ ἐναντίαι πρὸς ἀλλήλους, ἀποδεικτέον. καὶ ἡ Μωσέως γὰρ ἔκτασις τῶν χειρῶν τὸν λαὸν πιστὸν τῷ θεῷ ἔσωσε, τοὺς δὲ ὑπεναντίους ἀπώλεσε. καὶ ἡ τοῦ Χριστοῦ οὕτως ἐποίησεν. εἰ μὲν οὖν ἡ ἔκτασις τῶν χειρῶν τοῦ Χριστοῦ πάντας ἔσωσε, πιστούς τε καὶ ἀπίστους καὶ φονεῖς καὶ μοιχούς, δοκεῖς τι λέγειν· εἰ δὲ οἱ πιστεύσαντες μὲν αὐτῷ ἐσώθησαν, οἱ δὲ ἀπιστήσαντες αὐτῷ ἀπώλοντο, ὡς ὁ Ἀμαλέκ, τί ἐναντίον; καὶ γὰρ μετὰ τὴν ἔκτασιν τῶν χειρῶν τοῦ Χριστοῦ τῶν ἀπίστων καὶ ὁ ναὸς καὶ ἡ πόλις κατεστράφη, καὶ διεσπάρη ὁ λαὸς καὶ ἀπώλετο. ὅμοια τοίνυν ἐστὶν ἡ ἔκτασις τῶν χειρῶν ἀμφοτέρων, προτύπωσις τοῦ Χριστοῦ ἡ Μωσέως γενομένη· ἀμφω γὰρ τοὺς μὲν πιστοὺς ἔσωσαν, τοὺς δὲ ἀπίστους ἀπώλεσαν.

ΜΕΓ. Οὐκ ἔστιν ἴσον οὐδὲ ὅμοιον.

d *ΕΥΤΡ.* Δοκεῖς μοι μὴ νοεῖν τὰ λεγόμενα· τότε γὰρ δοκεῖ διαλλάττειν, ὁπόταν ὁ εἰς τοὺς πιστοὺς σώσῃ, ὁ δὲ ἕτερος τοὺς ἀπίστους. Ἀμφότεροι δὲ εὑρίσκονται τὸ αὐτὸ πράττοντες· οὐδὲν οὖν τὸ ἀντίπιπτον. λέγε εἴ τι ἕτερον ἔχεις.

ΜΕΓ. Ὁ ἐν τῷ νόμῳ κύριος λέγει· ἀγαπήσεις τὸν ἀγαπῶντά σε, καὶ μισήσεις τὸν ἐχθρόν σου· ὁ δὲ κύριος ἡμῶν, ἀγαθὸς ὤν, λέγει· ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν καὶ εὔχεσθε ὑπὲρ τῶν διωκόντων ὑμᾶς.

ΑΔ. Εἰ μὲν γὰρ ἐν μόνῳ τῷ εὐαγγελίῳ ἔκειτο, καλῶς ἔλεξας· εἰ δὲ καὶ ἐν τῷ νόμῳ εὑρίσκομεν διεσταλμένον· ἐὰν ἴδῃς, φησί, τὸν βοῦν e ῥεμβόμενον τοῦ ἐχθροῦ σου, οὐκ ἐάσεις αὐτὸν ἀπολέσθαι· ἀνάξας ἀποδώσεις αὐτῷ τὸν βοῦν αὐτοῦ. καὶ πάλιν φάσκει· ἐὰν ἴδῃς τὸν ὄνον τοῦ ἐχθροῦ σου ἐν τῇ ὁδῷ πεσόντα, οὐ μὴ ἀντιπαρέλθῃς αὐτόν, ἕως ἐπάρας γομώσῃς τὸν ὄνον. ἀλλ' οὖν γε καὶ ὅτε ὁ λαὸς ἐπῆλθεν ἀνελεῖν Μωσέα καὶ ἐπεσκίασεν ἡ δόξα

18 19] Lev. 19: 18, Mt. 5: 43. — **20 21**] Mt. 5: 44. — **23—25**] Exod. 23: 4, Deut. 22: 1. — **26 27**] Exod. 23: 5. — **28**] Num. 16: 41—43.

2 *ἀποδεκτέον* AEFH, *καὶ ἀπ.* FH, in F mit drei Punkten unter *καὶ* | **4** *ἡ* vor *ἔκτασις* < D | **6** *οἱ* vor *πιστευσ.* < D^1 | **9** *καὶ* vor *ὁ ναὸς* < C | **11** *γενομένη* Migne, *γινομένη* d. HSS. | **13** *οὐδὲ* BCDGH, *οὔτε* d. übr. | **15** *πιστοὺς* $A^2B^2C^1$ w. e. sch., D^2FH Pic. Humfr., *πολλοὺς* d. übr. Schon Wettst. vermutete *πιστοὺς*. | **25** *ἀνάξας*] *ἀνοίξας* d. HSS. »*reducens*« Pic., *ἀνάξας* H in mg. »*reductum ei reddes*« Per. Der Verf. des Dial. kann diese Form gebraucht haben, wie *ἔλειψα* statt *ἔλιπον*, LXX *ἀποστρέψας* | **27** *ἀπογομώσῃς*? | **28** *ὁ* vor *λαὸς* ABCDFH, < d. übr. u. d. Ausgg.

que perspicere, Moysi et Christi, et uidere si similis an dissimilis sibi sit. Moyses manibus extensis populum credentem Deo saluauit, hostes uero eius et aduersarios interemit. Christus ergo, si extensis manibus suis omnes saluos fecisset, credentes et non credentes, pios et impios, uidebaris aliquid dicere. Nunc vero, cum certum sit neminem a Christo saluari, nisi qui ei crediderit, infideles autem et incredulos deperire, similiter ut perit et ille tunc Amalech, quid hic uidetur contrarium? Denique posteaquam Christus manus extendit in Hierusalem, populus ille, qui ei non credidit, una cum templo ipso et urbe prostratus est, et, si quis forte superfuit, extorris patria et captiuus abductus est. Ita similis est extensio manuum utriusque per omnia, quia et forma fuit hoc, quod prius adumbrabat Moyses, eorum quae postmodum Christus impleuit. Uterque etenim in extensione manuum et salutem credentibus et interitum non credentibus praestitit.

Meg. d.: Quid in hoc est aequale uel simile?

Eutr. d.: Uideris mihi non intellegere quae dicuntur, aut, quod magis est, quid respondeas non habere. Tunc etenim diuersum aut contrarium uideretur, si unus salutem credentibus, alius etiam non credentibus contulisset. Nunc uero, cum uterque idem ostendatur operatus, in nullo potest contrarius iudicari. Si quid igitur aliud habes, prosequere.

c. **XII.** *Meg. d.*: In lege deus dicit: *Diliges diligentem te, et odio habebis inimicum tuum.* Noster autem bonus dominus dicit: *Diligite inimicos uestros, et orate pro eis qui persecuntur uos.*

Ad. d.: Siquidem in solo euangelio hoc esset praeceptum, dicere fortassis aliquid uideretur. Quid? quod et in lege hoc idem scriptum inuenimus, cum dicit: *Si uideris*, inquit, *inimici tui bouem errantem, non permittes eum perire, sed reuocabis eum et reddes ei bouem suum.* Et iterum dicit: *Si uideris asinum inimici tui in uia cecidisse, non pertransies eum, usque quo alleues cum eo asinum et oneres.* Sed et populus insurrexit super Moysen et obumbrauit eum gloria domini. Iustum utique erat eos qui insurrexerant uelut inimicos atque insidiatores interimi. Sed

1 Im folgenden finden wir wiederholt »Moyses« u. »Moysen«, weiter unten c. 22 dagegen, wie hier »Moysi«, als lautete der Nom. »Moysus». Vgl. Ex. 8: 13, Lev. 10: 7 Vulg. Hier lag »Moysi« um so näher, als »Christi« folgt | **6** Cod. increduos | Cod. Doeperire | **20** Cod. »iudicare«, aber mit in »i« korrigiertem »e« | **25/26** dicere — videretur] So der Cod. Man erwartet »dici — videretur« oder »dicere videreris« oder »videri possis«. Doch kann der Sinn von »dicere — videretur« zur Not der sein: so könnte es vielleicht etwas zu sagen scheinen | **26** (Statt »scriptum« bietet der Cod. »tributum«, verschrieben aus »scribtum«. Auch 830d, 831c hat Ruf. *διεσταλμένον* mit »scriptum« übersetzt. — B) | **28** Cod. permittas | bouem] Cod. bonum. — B | **29** Cod. pertransiens, mit unterstrichenem »n«.

κυρίου. ἦν δὲ ὅσιον τοὺς ἐπελθόντας ἐχθρῶν δίκην ἀναιρεῖσθαι, καὶ ἔπεσε κατὰ τὸ γεγραμμένον ἡ θραῦσις, καὶ ἔμελλεν ὄλλυσθαι ὁ λαός, εἰ μὴ Μωσῆς, παραπέμψας τὴν ἔχθραν, ἐδεήθη τοῦ θεοῦ ὑπὲρ τῶν ἐχθρῶν αὐτοῦ. εἰπών· Ἀαρών, ἀπάντησον τῷ ὀλοθρευτῇ, λαβὼν ἐν τῇ χειρί σου τὸ πυρεῖον· ἀκούσας Ἀαρὼν ἀπήντησε καὶ ἐκόπασεν ἡ θραῦσις. ἀλλὰ καὶ Δαυὶδ διωκόμενος ὑπὸ τοῦ Σαοὺλ καὶ εὑρὼν τόπον ἀνελεῖν αὐτόν, οὐκ ἀνεῖλεν ἀλλὰ τοὐναντίον εὐχὴν ὑπὲρ αὐτοῦ ποιεῖται· ἀλλ' οὖν γε καὶ Ἱερεμίας, βληθεὶς ὑπ' ἐχθρῶν εἰς λάκκον, οὐκ ἐμνησικάκησεν ἀλλὰ τοὐναντίον καὶ αὐτὸς ηὔχετο ὑπὲρ αὐτῶν. λέγει δὲ ἐν τῷ γράμματι τοῦ εὐαγγελίου· ἀναχωρεῖτε ἀπ' ἐμοῦ, οἱ ἐργαζόμενοι τὴν ἀνομίαν. ὁρᾷς ὅτι συνᾴδει τὸ
813 εὐαγγέλιον | τῷ νόμῳ.

ΜΕΓ. Ἐν τίνι συνᾴδει;

ΕΥΓΡ. Πῶς οὐκ ἔστι τὰ αὐτά; ἃ προέτεινεν ὁ Χριστὸς γενέσθαι, ταῦτα ἐν τῷ νόμῳ γέγονεν. ἐχθροὺς ἀγαπᾶν προσέταξε, καὶ ὁ νόμος ἐχθροὺς μὴ ἀμύνεσθαι προσέταξεν. ἀλλ' οὐδὲ μέχρι βοὸς ἢ ὄνου παρορᾶν κελεύει. πῶς δὲ καὶ ὁ Χριστὸς οὐ μισήσει τοὺς τὰ φαῦλα πράσσοντας ὡς ἐχθρούς, λέγων· ἀναχωρεῖτε ἀπ' ἐμοῦ; τοῦτο οὐκ ἔστιν ἀγάπης τὸ ἀπώσασθαι τοὺς ἐχθρούς.

ΜΕΓ. Ὁ προφήτης τοῦ θεοῦ τῆς γενέσεως, ἵνα πολεμῶν πλείονας ἀνέλῃ, ἔστησε τὸν ἥλιον τοῦ μὴ δῦσαι μέχρι συντελέσῃ ἀναιρῶν τοὺς πολεμοῦντας πρὸς τὸν λαόν· ὁ δὲ κύριος, ἀγαθὸς ὤν, λέγει· ὁ ἥλιος
b μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ ὑμῶν.

ΑΔ. Περὶ τοῦ τοὺς ἀδίκως πόλεμον κατὰ δεσποτῶν συστησαμένους [ὅσιοι] δικαίως ἀναιρεῖσθαι ἀποδέδεικται, ἐξ ὧν καὶ ὁ Χριστὸς τὸν φαύλως ἀναστραφέντα κελεύει βληθῆναι εἰς τὸ σκότος τὸ ἐξώτερον, ὅπου ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. ἕνεκεν δὲ τοῦ· ὁ ἥλιος μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ ὑμῶν, τοῦτο δείκνυται οὐ μόνον δι' ἐντολῆς ἐν τῷ νόμῳ, ἀλλὰ δι' ἔργου γεγονός, ὡς γέγραπται ὅτι παρώργισαν τὸν Μωσῆν ἐν τοῖς ἔργοις αὐτῶν Ἀαρὼν καὶ Μαρία ἡ ἀδελφὴ αὐτοῦ, συμβῆναι δὲ τὴν Μαρίαν λέπρᾳ
c περιπεσεῖν διὰ τὸν παροργισμόν· ὁ δὲ Μωσῆς παρὰ τοῦ Ἀαρὼν (αἰτηθεὶς) οὐκ ἀνέμεινε τὸν ἥλιον δῦσαι, ἀλλὰ τοὐναντίον ἱκέτευσε τὸν θεὸν ἰαθῆναι τὴν ἀδελφὴν αὐτοῦ. ὅρα τοίνυν ὅτι καὶ ἐν τῷ νόμῳ

4 5] Num. 16: 46. — 6] 1 Sam. 26: 1 ff. — 8] Jer. 38: 6 ff., 18, 20. — **10/11**] Mt. 7: 23. Lc. 13: 27. — **20—22**] Jos. 10: 12—14. — **22/23**] Eph. 4: 26. — **26/27**] Mt. 8: 12, 13: 42. 50, 22: 13, 24: 51. 25: 30. — **28**] Eph. 4: 26. — **30/31**] Num. 12: 1 ff.

5 *καὶ ἀκούσας* FH, *ἢ ἀκ.* A | **14** *τὰ αὐτά*] *τὸ αὐτὸ* AB¹ | **18** *ὡς* < FH | **25** *ὅσιοι* steht i. all. HSS., gehört aber nicht hierher. Es scheint aus 812e *ἦν δὲ ὅσιον τοὺς ἐπελθόντας . . . . . ἀναιρεῖσθαι* hinzugefügt zu sein | **26** *κελεύεις* A¹B¹ | **32** *αἰτηθεὶς* < d. HSS. Ruf. »rogatus«.

cum coelitus quoque ultio processisset in populum, Moyses, oblitus inimicitiarum, deum pro inimicis et insidiatoribus supplicabat, dicens ad Aaron: *Occurre exterminatori, assumens in manum tuam turibulum.* Quo audito Aaron occurrit et cessauit uastatio. Sed et Dauid, cum fugaretur a Saule et inuenisset locum interficiendi eum, non interemit, sed e contrario orabat pro ipso. Hieremias quoque, ab inimicis demersus in lacum, malorum memoriam non reseruat, sed e contrario etiam ipse orat pro ipsis. Et rursus in euangelio inuenimus scriptum, domino Christo dicente: *Discedite a me, operarii iniquitatis, (in tenebras exteriores! ibi erit fletus et stridor dentium*, et quamplurima his similia). Uides ergo quia consonat euangelium legi.

Meg. d.: In quo consonat?

Eutr. d.: Ergo non consonat, cum eadem ipsa, quae Christus iubet fieri, haec facta inueniuntur in lege? Inimicos praecepit diligi; etiam lex ultionem uetat in tantum ut nec bouem quidem uel iumentum despici iubeat. Sed et Christus, quomodo non uidetur odisse eos qui male agunt, et inimicos habere, cum dicit: *Discedite a me operarii iniquitatis!* Hoc diligentis non est abicere a se (et extrudere) inimicos (in tenebras exteriores).

c. **XIII.** *Meg. d.*: Propheta dei illius, qui refertur in lege, pro eo, ut plures interirent in bello, solem stare fecit ne occumberet usque quo ille trucidaret inimicos suos. Dominus autem, qui bonus est, dicit: *Sol non occidat super iracundiam uestram.*

Ad. d.: De his quidem, qui bellum iniuste inferunt, rectum esse consequens ut excipiant ea quae belli lege referuntur, ostendimus, unde et Christum docuimus iubere inimicos in tenebras exteriores detrudi, ubi erit fletus et stridor dentium. Pro eo uero quod dictum est: *Sol non occidat super iracundiam uestram*, ostendam in lege non solum praecepto, sed re atque opere expletum. Scriptum est enim de his qui contumeliam irrogauerant in Moysen, id est de Aaron et Maria, sorore sua, quod leprae ultio data fuisset in Mariam pro eo quod exacerbauerant et laeserant fratrem. Moyses uero, (rogatus*) ab Aarone, non exspectavit ut occumberet sol, sed ante solis occasum prostrauit se deo et rogauit ut reciperet sanitatem. Uides ergo quia et in lege haec fiebant, ut ne

6 Cod. dimersus | **13** Cod. ipse | **18** Hoc] (In Casp.'s Ausg. »hos«, wohl ein Druckfehler. — B) | **25** Cod. »excipient« mit »a« über dem zweiten »e« | **29** »Opere« steht im Cod. über der Zeile | **31** Cod. exaicerbauerant.

τοιαῦτα ἐγίνετο, ὅπως μὴ ἐπιδύῃ ὁ ἥλιος ἐπὶ τῷ παροργισμῷ. ἀλλὰ μὴν καὶ ὁ προφήτης κηρύσσει ἀναφανδόν· μὴ μνησικακεῖτε ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ ἐν ταῖς καρδίαις ὑμῶν. ὀδὶ πέφηνε τοίνυν καὶ ἐν νόμῳ καὶ ἐν εὐαγγελίῳ εἶναι τό· ὁ ἥλιος μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ ὑμῶν.

MEI. Οὐδὲ γέγραπται τοῦτο ἐν τῷ νόμῳ περὶ τοῦ μὴ ἐπιδύειν d τὸν ἥλιον· τί ἄλλα ἀντ' ἄλλων λέγεις;

EYTP. Βούλει μόνον φιλονεικεῖν ἀδίκως. Μεγέθιε· εὕρηται καὶ ἔργῳ καὶ παραγγελίᾳ γεγενημένον ἐν τῷ νόμῳ· τὸ γὰρ παραγγεῖλαι τὸν προφήτην μὴ μνησικακεῖν οὐ δοκεῖ σοι ἀκριβέστερον εἶναι; ὁ μὲν οὖν Χριστὸς κἂν μιᾶς ἡμέρας προθεσμίαν τῷ παροργισμῷ ἔδωκεν, ὁ δὲ προφήτης οὐδ' ὅλως μνησικακεῖν προσέταξε.

MEI. Ὡς φαίνεται, οὐ δικαστὴς εἶ, ἀλλ' ἀντίδικος.

AΔ. Οὐκ Εὐτρόπιος ἀντίδικός σού ἐστιν, ἀλλ' ἡ ἀλήθεια· αὕτη γὰρ ἀντιδικεῖν τοῖς ψευδηγόροις πέφυκε. καὶ γὰρ ἀήττητος καὶ ἀθάνατος ὑπάρχει ἡ ἀλήθεια, βλάστημα τοῦ ἀγαθοῦ θεοῦ οὖσα.

e *EYTP.* Οἱ παρόντες ἀκροαταὶ λεγέτωσαν εἰ παρὰ τὸ δίκαιον ἀπεφηνάμην· καὶ γὰρ αὐτὸς Ἕλλην ὢν βούλομαι Χριστιανὸς γενέσθαι * * * * ἀνάγκη οὖν * * * * τὸ κρεῖττόν με αἱρήσασθαι.

MEI. Δείξω ὅτι ἠναντίωται τὸ εὐαγγέλιον τῷ νόμῳ.

ΜΕΓ. Τοῦ δημιουργοῦ ἐστιν ἡ ψυχὴ ἐμφύσημα. ὅτε οὖν ἐδημιούργησεν, εἶδεν αὐτὴν πονηρὰν καὶ ἀπειθῆ καὶ ταύτην ἀπέῤῥιψεν. ὁ πονηρὸς δὲ θεωρήσας ἀποῤῥιφεῖσαν, πρὸς ἑαυτὸν ἐπανήγαγε, καὶ ὁ
15b ἀγαθὸς ἐλεήσας ἐῤῥύσατο αὐτὴν ἐκ τοῦ πονηροῦ.

ΑΔ. Ὁ ἀγαθός, ῥυσάμενος τὴν ψυχὴν ἐκ τοῦ πονηροῦ, ἔδωκε τῷ δημιουργῷ ἢ κατέσχε παρ' ἑαυτῷ;

(*ΜΕΓ.* Κατέσχε παρ' ἑαυτῷ).

ΕΥΤΡ. Ὦ πολλῆς ἀγαθότητος, μᾶλλον δὲ ἀθεότητος, ἔλαβε,
20 φησί, παρὰ τοῦ πονηροῦ, ἵνα ἀποστερήσῃ τὸν δημιουργὸν τοῦ ἰδίου ἐμφυσήματος.

ΑΔ. Παρασχέσθω τὰς ἀποδείξεις πῶς ἀπέῤῥιψε καὶ κατεδίκασε τὴν ψυχὴν ὁ δημιουργός.

ΜΕΓ. Ὅτε ἔφαγεν ἀπὸ τοῦ ξύλου, οὗ παρήγγειλε μὴ φαγεῖν,
25 τότε ὑπέπεσε κατακρίσει καὶ καταδίκῃ καὶ ἀπωλείᾳ.

ΑΔ. Ἀνάγνωθι πῶς κατέκρινε τὴν ψυχήν.

ΜΕΓ. Ἀνάγνωθι τὰ ἐν τῇ Γενέσει ἐγγεγραμμένα.

c *ΑΔ.* Ἀναγινώσκω τὴν τοῦ δημιουργοῦ ἀπόφασιν, καὶ δειχθήσεται τί ἐστι τὸ καταδικασθέν, ἡ ψυχὴ ἢ τὸ σῶμα. λέγει γὰρ οὕτως· ὅτι ἤκουσας τῆς γυναικός σου καὶ ἔφαγες ἀπὸ τοῦ ξύλου, οὗ ἐνετειλάμην τούτου μόνου μὴ φαγεῖν, ἀπ' αὐτοῦ ἔφαγες, ἐπικατάρατος ἡ γῆ ἐν τοῖς ἔργοις σου· ἐν λύπαις φάγῃ αὐτὴν

29ff.] Gen. 3: 17—19.

56 In d. HSS. u. der Übers. des Ruf. spricht Marcus die Worte *κακοὺς* bis *αὐτῷ*. Diese Angabe kann aber nicht richtig sein. Mit dem folgenden *ἔφης* u. *λέγε* spricht Ad. zu Megethius, denn dieser giebt die Antwort. Ist *μόνον τὴν ψυχὴν* von Meg. gesprochen worden, dann sind auch *κακοὺς — αὐτῷ* Worte des Meg. | **8** *τὴν ψυχὴν* C | **9** *ἢ μόνην*] *μόνον* F mit *η* über der Zeile | **14** *ἀποῤῥιφεῖσαν* F | **18** Aus der Übers. Ruf.'s habe ich *ΜΕΓ. Κατέσχε π. ἑ.* hinzugefügt, das in d. gr. HSS. fehlt. Der Ausruf des Eutr. *Ὦ πολλῆς κτἑ.* setzt eine Äusserung des Meg. voraus | **20** *ἀποστερήσει* E.

fieret bonus deus? Nos illum dicimus bonum esse qui interimit mala. Aut non uidetur multo esse melior is qui non uult esse mala, eo qui conseruari ea et permanere facit?

Meg. d.: Malos homines deus bonus liberauit a malo et immutauit eos per fidem, ut credentes ei fierent boni.

c. **VII.** *Ad. d.*: Quoniam dixisti quod liberauerit bonus deus homines et permutauerit eos ad bonum, dic ergo quid uenit saluare bonus deus, animam et corpus aut solam animam?

Meg. d.: Solam animam.

Ad. d.: Anima boni est dei an creatoris?

Meg. d.: Creatoris insufflatio est anima; et, cum eam fecisset, uidens eam inobedientem, abiecit eam. Quam malus, cum uidisset eam abiectam, adduxit eam ad semet ipsum, bonus uero, miseratus, liberauit eam a malo.

Ad. d.: Bonus deus cum liberasset animam a malo, reddidit eam creatori suo, aut retinuit apud semet ipsum?

(*Meg. d.*: Retinuit apud semet ipsum*.)

Eutr. d.: O magna bonitas! immo magna impietas! Tulit eam, inquit, ut fraudaret creatorem, auferens ei quod eius esse proprium nouerat.

Ad. d.: Ostendat tamen quomodo proiecit et condemnauit animam creator deus.

Meg. d.: Quando manducauit de ligno, de quo praeceperat ut non manducaret, tunc condemnata est et proiecta.

Ad. d.: Lege quomodo condemnauit animam.

Meg. d.: Lege ea quae in Genesi scripta sunt.

Ad. d.: Lego creatoris sententiam, et ostendetur quid est quod condemnatum est, anima aut corpus. Ita enim scriptum est: *Quia audisti uocem mulieris tuae et manducasti de ligno, de quo praeceperam tibi ne de eo solo manducares, ⟨de eo⟩ manducasti, maledicta terra in operibus tuis,*

4 *Meg.*] Cod. und Caspari's Ausg.: Marcus. S. jedoch meine Anm. zu dem gr. T. — B | **7** Cod. permutauit | **9** Cod. Magethius. Es scheint, als habe der Schreiber erst »Marcus« setzen wollen, dann aber, nachdem er schon die beiden ersten Buchstaben dieses Namens geschrieben, bemerkt dass seine Vorlage »Megethius« habe, und darum zu denselben »gethius« hinzugefügt, ohne das »a« von »Ma« in »e« zu verändern | **11** Cod. Creatoris. Insuffl. cet | **12** Cod. abicit | **18** Die Worte O — immo im Cod. mit grossen Buchstaben | eam] Cod. ea | inquit] Cod. in qd. mit »i« über »qd« | **20** Cod. ostendit. Gr. *παρασχέσθω*. ostendito? — B | **26** Cod. ostenditur. Gr. *δειχθήσεται* | **29** de eo mand.] Der Cod. bloss »mand.« Gr. *ἀπ' αὐτοῦ ἔφαγες*.

πάσας τὰς ἡμέρας τῆς ζωῆς σου· ἀκάνθας καὶ τριβόλους ἀνατελεῖ σοι καὶ φάγῃ τὸν χόρτον τοῦ ἀγροῦ· ἐν ἱδρῶτι τοῦ προσώπου σου φάγῃ τὸν ἄρτον σου, ἕως οὗ ἀποστρέψω σε εἰς τὴν γῆν ἐξ ἧς ἐλήφθης, ὅτι γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ. αὕτη ἡ ἀπόφασις καταδίκη ψυχῆς ἐστιν ἢ σώματος;

ΕΥΤΡ. Ἡ ἀπόφασις σώματος καταδίκην ἐμφαίνει καὶ οὐ ψυχῆς. φάσκει γάρ· ἕως οὗ ἀποστρέψεις εἰς τὴν γῆν ἐξ ἧς ἐλήφθης, ὅτι γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ.

ΑΔ. Ὁ ὁ δημιουργὸς κατεδίκασε, τοῦτο, φησίν, ὁ ἀγαθὸς ἔσωσε.

ΜΕΓ. Κατάραν αὐτῷ ἔδωκε, πῶς οὖν οὐ κατεδίκασεν;

ΑΔ. Οὐ τὸν ἄνθρωπον κατηράσατο, ἀλλὰ τὴν γῆν· λέγει γὰρ οὕτως· ἐπικατάρατος ἡ γῆ ἐν τοῖς ἔργοις σου.

ΜΕΓ. Ὁ οὖν ἄνθρωπος οὐκ ἔστιν ἐκ τῆς γῆς;

ΕΥΤΡ. Μικρῷ πρόσθεν ἔφασκες τὴν ψυχὴν μέρος καὶ ἐμφύσημα εἶναι τοῦ δημιουργοῦ· νῦν οὖν, ὡς ἐπιλησθείς, ἐκ γῆς αὐτὸν λέγεις εἰλῆφθαι.

ΑΔ. Τὴν οὖν μὴ καταδικασθεῖσαν ἦλθε ψυχὴν σῶσαι ὁ ἀγαθός;

ΕΥΤΡ. Εἰ οὖν καταδεδίκασται μὲν τὸ σῶμα οὐ τοῦτο δέ ἐστι κατ' αὐτοὺς τὸ σωζόμενον, ἀλλὰ τὸ τοῦ καταδικάσαντος ἐμφύσημα, ὅπερ ἐστίν, ὡς λέγουσιν, ἡ ψυχή, δῆλον ὅτι τὸ μὲν ἐκ θεοῦ ὂν καὶ ἐκείνου ὂν μέρος ἔσωσε, τῷ δὲ καταδικασθέντι, ἐκ γῆς ὄντι, οὐδὲν ἐβοήθησε.

ΜΚ. Ταῦτα μὲν πρὸς Μεγέθιον καλῶς δοκεῖ λελέχθαι, πρὸς δὲ τὸ ἡμέτερον δόγμα ἀναπόδεικτος ὁ λόγος. ἡμεῖς γὰρ οὐδὲ σῶμα οὐδὲ ψυχὴν λέγομεν, ἀλλὰ τὸ πνεῦμα, καθὼς λέγει ὁ ἀπόστολος· παρέδωκα τὸν τοιοῦτον εἰς ὄλεθρον τῆς σαρκός, ἵνα τὸ πνεῦμα σωθῇ.

ΑΔ. Τὸ πνεῦμα τοῦ δημιουργοῦ ἐστιν, ὃ ἔσχεν ὁ ἄνθρωπος, ἢ τοῦ ἀγαθοῦ;

ΜΚ. Τοῦ ἀγαθοῦ.

ΑΔ. Οὐκοῦν κοινῶς γενόμενοι ὁ δημιουργὸς καὶ ὁ ἀγαθὸς ἐδημιούργησαν τὸν ἄνθρωπον.

ΜΚ. Πῶς;

ΑΔ. Ἔφης τὴν ψυχὴν τοῦ δημιουργοῦ καὶ τὸ σῶμα, τὸ δὲ πνεῦμα τοῦ ἀγαθοῦ, ἢ οὐχ οὕτως;

ΜΚ. Ὁ δημιουργός, ὅτε ἔπλασε τὸν ἄνθρωπον καὶ ἐνεφύσησεν

25—27] 1 Cor. 5: 5.

2 *τοῦ ἀγροῦ*] *τοῦ ἀγαθοῦ* E Humfr. | **15** *ἐπιλησθεὶς* ACDFG, *ἐπιλαθεὶς* d. übr. | *αὐτὸν* d. h. *τὸν ἄνθρωπον*. Beachtenswert jedoch ist die Konjektur am Rande der HS. C, *τάχα αὐτὴν* | **16** *λέλῃφθαι* A^1BC | **20** *δηλονότι* d. HSS. | **35** *οὕτω* d. HSS.

in tristitia manducabis eam omnes dies uitae tuae. Spinas et tribulos producet tibi et manducabis foenum agri. In sudore uultus tui manducabis panem tuum, usque quo redeas in terram unde assumtus es, quia terra es et in terram ibis. Haec est sententia condemnationis. Animae est an corporis?

Eutr. d.: Sententia condemnationem corporis continet. Ait enim: *Usque quo reuertaris in terram unde es, quia terra es et in terram ibis.*

Ad. d.: Dixerat ergo quod creator condemnauit hoc uenit bonus deus saluare.

Meg. d.: Maledictum ei dedit, et quomodo non condemnauit?

Ad. d.: Non homini maledixit, sed terrae. Dicit enim: *Maledicta terra in operibus tuis.*

Meg. d.: Et homo non est de terra?

Eutr. d.: Paulo ante dicebas animam partem quandam et insufflationem esse creatoris; nunc, tanquam oblitus tui, de terra dicis hominem assumtum.

Ad. d.: Ergo animam, quae condemnata non erat, saluare uenit bonus deus?

Eutr. d.: Cum ostendatur corpus esse quod condemnatum est, hoc autem negant eum uenisse saluare, sed insufflationem creatoris partemque eius quam isti animam dicunt, huic qui de terra fuerat assumtus, qui et condemnatus est, nihil praestitit.

c. **VIII.** *Marc. d.*: Haec aduersum Megethium uidentur consequenter dicta. Aduersum nostrum uero dogma impossibile est horum aliquid ualere. Nos enim neque corpus neque animam dicimus, sed spiritum, sicut apostolus dixit: *Tradidi eiusmodi hominem satanae in interitum carnis, ut spiritus saluus fiat.*

Ad. d.: Spiritus iste creatoris est, quem habet homo, aut boni dei?

Marc. d.: Boni dei.

Ad. d.: Simul ergo conuenientes creator et bonus deus fecerunt hominem.

Marc. d.: Quomodo?

Ad. d.: Dixisti animam et corpus creatoris esse, et spiritum boni dei. Aut non ita est?

Marc. d.: Creator, quando plasmauit hominem et insufflauit in eum, non potuit ad perfectum eum explicare. Uidens autem desuper bonus

17 Cod. anima | **20** Man erwartet »negent« | **25** sed] Cod. et.

αὐτῷ, οὐκ ἠδυνήθη αὐτὸν τελεσφορῆσαι· ἰδὼν δὲ ἄνωθεν ὁ ἀγαθὸς κυλιόμενον τὸ πλάσμα καὶ σκαρίζον, ἔπεμψεν ἐκ τοῦ ἰδίου πνεύματος καὶ ἐζωογόνησε τὸν ἄνθρωπον. τοῦτο οὖν φαμεν ἡμεῖς τὸ πνεῦμα σώζεσθαι.

ΑΔ. Πάντες οἱ ἄνθρωποι ἐκ τούτου τοῦ πνεύματος ἔχουσιν, ἢ οἱ πιστεύσαντες τῷ ἀγαθῷ;

ΜΚ. Ἐπὶ τῆς εὐχαριστίας ἔρχεται.

ΑΔ. Πῶς οὖν ἔφασκες ἐπὶ σωτηρίᾳ ἀνθρώπου αὐτὸν κατεληλυθέναι; οὐκέτι οὖν τὸν ἄνθρωπον ἦλθε σῶσαι, ἀλλὰ τὸ ἴδιον πνεῦμα. σωτηρίας οὖν χρήζει τὸ τοῦ ἀγαθοῦ πνεῦμα. Ὢ τῆς ἐμφανοῦς ἀναισχυντίας. κατεδικάσθη τὸ πνεῦμα τοῦ ἀγαθοῦ σὺν τῷ ἀνθρώπῳ ὑπὸ τοῦ δημιουργοῦ;

ΜΚ. Οὔ.

ΑΔ. Τὸ οὖν μὴ καταδικασθέν, ἐκεῖνο ἦλθε σῶσαι;

ΕΥΤΡ. Ἡ γὰρ συγκατεδικάσθη τῷ ἀνθρώπῳ τὸ ἀποσταλὲν τοῦ ἀγαθοῦ πνεῦμα*.) καὶ ἄμεινόν ἐστιν ὑπακούειν τῷ δημιουργῷ, ὄντι δυνατωτέρῳ — ὁ γὰρ ἰσχύσας τὸ πνεῦμα τοῦ ἀγαθοῦ καταδικάσαι πῶς οὐχὶ μᾶλλον καταδικάσει τοὺς ὑπ' αὐτοῦ γενομένους ἀνθρώπους, ὡς μὴ ὑπακούσαντας αὐτῷ —; ἢ οὐ κατεδικάσθη τὸ πνεῦμα καὶ περισσὸν τὸ λέγειν τοῦτον ἐπὶ σωτηρίᾳ ἀνθρώπων παραγεγονέναι.

ΜΕΓ. Ὁ ἀγαθός, ἰδὼν καταδεδικασμένην τὴν ψυχήν, ἐλεήσας ἦλθεν, ὁ δὲ δημιουργὸς ἠθέλησεν αὐτῷ ἐπιβουλεῦσαι, ὅθεν καὶ ἐνόμισεν αὐτὸν σταυροῦν.

ΑΔ. Ἀποθανεῖν ὑπὲρ τῆς σωτηρίας τῶν ἀνθρώπων αὐτὸς εἵλετο, ἢ ὑπ' ἄλλου ἠναγκάσθη;

ΜΕΓ. Ὁ δημιουργός, ἰδὼν τὸν ἀγαθὸν λύοντα αὐτοῦ τὸν νόμον, ἐπεβούλευσεν αὐτῷ, μὴ εἰδὼς ὅτι ὁ θάνατος τοῦ ἀγαθοῦ σωτηρία ἀνθρώπων ἐγίνετο.

ΑΔ. Ἀποθανεῖν ὑπὲρ τῆς σωτηρίας τῶν ἀνθρώπων αὐτὸς εἵλετο ἢ ὑπ' ἄλλου ἠναγκάσθη;

ΜΕΓ. Αὐτὸς εἵλετο, οὐ γὰρ ἠδικεῖτο ὑπὸ τοῦ θανατοῦ.

ΑΔ. Οὐκέτι οὖν ἐπεβούλευσεν αὐτῷ ὁ δημιουργός.

ΕΥΤΡ. Τίς οὕτως ἀνοήτως λέξει ἐπιβουλεύεσθαι ταῦτα ἅπερ αὐτὸς εἵλετο παθεῖν; εἰ μὲν γὰρ αὐτὸς εἵλετο τὸν θάνατον, περισσὸν

8 ἔφασκε DE | *σωτηρία* ACGH, *σωτηρίας* d. übr. | **13** *ΜΚ.*] *ΜΕΓ.* d. HSS. Die Frage des Ad. *Πῶς οὖν κτέ.* ist aber offenbar an den Marcus gerichtet; auch das darauffolgende handelt über das *πνεῦμα* des Marcus; also muss auch das *οὔ* ihm zugewiesen werden | **13—16** *ΜΚ. οὔ — πνεῦμα* < Ruf. Ich halte es für echt. Den Charakter einer Interpolation hat es nicht, da es eine unnötige Wiederholung ist, und solche Wiederholungen der Komposition des Dialogus gar nicht fremd sind | **18** *κατεδικάσει* ABFH Pic, *κατεδικάσαι* d. übr.

deus uolutari figmentum creatoris et palpitare, misit ex proprio suo spiritu et uiuificauit hominem. Hoc est ergo quod nos dicimus spiritum saluum fieri.

Ad. d.: Omnes homines de hoc spiritu habent, aut soli illi qui credunt bono?

Marc. d.: Per eucharistiam uenit.

Ad. d.: Quomodo ergo dicebas quia ad salutem hominum descendit? Non ergo iam hominem saluare uenit, sed proprium spiritum, et salute indiget boni dei spiritus. O mira impudentia! Condemnatus est spiritus boni dei cum homine, spiritus ille quem miserat bonus deus a creatore damnatur. Ergo erit melius creatorem confiteri deum tanquam ualidiorem qui potuerit etiam boni dei spiritum condemnare. Ex quo multo magis uerendum est ne et eos condemnet homines, qui ab ipso facti sunt, si non obtemperant sibi. Aut non est condemnatus spiritus, et superfluum est, quod dicitis, hunc uenisse ob salutem reparandam eorum qui fuerant condemnati.

c. **IX.** *Meg. d.*: Bonus deus uidens condemnatam esse animam, misertus est et uenit. Propterea creator deus uoluit ei insidiari; unde et putauit se eum cruci affigere.

Ad. d.: Mori pro salute hominum elegit, an ab alio coactus est?

Meg. d.: Creator, cum uidisset bonum deum soluere legem suam, insidiatus est ei, nesciens quod, cum immortalis esset, ob salutem hominum uenit.

Ad. d.: Mori pro salute hominum ipse delegit, aut ab alio compulsus est?

Meg. d.: Ipse delegit. Non enim a morte aliquid laedebatur.

Ad. d.: Ergo non insidiatus est ei creator.

Eutr. d.: Et quis tam inconsequenter agat? Insidias dicis id quod sponte delegit. Si ipse uoluit, ex superfluo nominantur insidiae. Si

1 Cod. uoluntarii | Cod. ficmentum | **11** Vor »ergo erit« sind Worte ausgelassen; vgl. d. gr. T. Ruf. fand die Wiederholung unnötig und kürzte ab. — B | **15** Cod. nc = nunc. Der gr. T. τοῦτον | **22** Ruf. hat d. gr. T. nicht verstanden. Las er ἀθάνατος? — B.

τὸ λέγειν ἐπιβουλήν· εἰ δὲ ὁ δημιουργὸς ἠνάγκασεν αὐτόν, αὐτὸς αἴτιος τῆς σωτηρίας τῶν ἀνθρώπων καὶ οὐχ ⟨ὁ⟩ ἀγαθός.

MK. Ἡμεῖς ἀπὸ τῶν γραφῶν δεικνύομεν ὅτι ὁ ἐλθὼν Χριστὸς οὐκ ἔστι τοῦ δημιουργοῦ, ἀλλὰ τοῦ ἀγαθοῦ, καὶ γὰρ τὸν νόμον τοῦ δημιουργοῦ κατέλυσεν.

AΔ. Ἀπὸ ποίων γραφῶν δεῖξαι ταῦτα ἐπαγγέλλῃ;

MK. Ἀπὸ τοῦ εὐαγγελίου καὶ τοῦ ἀποστόλου, ταῖς γὰρ Ἰουδαϊκαῖς φωναῖς οὐ πείθομαι, καὶ γὰρ ἄλλου εἰσὶ θεοῦ.

e *AΔ.* Ἐὰν οὖν δείξω ἀπὸ τοῦ εὐαγγελίου καὶ τοῦ ἀποστόλου, παύῃ βλασφημῶν;

MK. Οὐ γὰρ ὑπακούω οὔτε νόμῳ οὔτε προφήταις.

AΔ. Ἀλλὰ τῷ εὐαγγελίῳ ἢ οὔ;

MK. Πείθομαι.

AΔ. Ἀναγινώσκω καὶ δείκνυμι ὅτι ὁ μὴ δεχόμενος νόμον καὶ προφήτας οὐδὲ τὸ εὐαγγέλιον δέχεται. λέγει δὲ οὕτως ὁ Χριστός·
827 ἄνθρωπός τις ἦν πλούσιος | καὶ ἐνεδιδύσκετο πορφύραν καὶ βύσσον, εὐφραινόμενος καθ' ἡμέραν λαμπρῶς. πτωχὸς δέ τις ὀνόματι Λάζαρος ἐβέβλητο εἰς τὸν πυλῶνα ἡλκωμένος καὶ ἐπιθυμῶν χορτασθῆναι ἀπὸ τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τοῦ πλουσίου· ἀλλὰ καὶ οἱ κύνες ἐρχόμενοι ἔλειχον τὰ τραύματα αὐτοῦ. ἐγένετο δὲ ἀποθανεῖν τὸν πτωχὸν καὶ ἀπενεχθῆναι αὐτὸν ὑπ' ἀγγέλων εἰς τὸν κόλπον τοῦ Ἀβραάμ. ἀπέθανε δὲ καὶ ὁ πλούσιος καὶ ἐτάφη ἐν τῷ ᾅδῃ. ἐπάρας οὖν τοὺς ὀφθαλμοὺς αὐτοῦ, ὑπάρχων ἐν βασάνοις, ὁρᾷ Ἀβραὰμ ἀπὸ μακρόθεν καὶ Λάζαρον ἐν τῷ κόλπῳ αὐτοῦ, καὶ αὐτὸς φωνήσας εἶπε· πάτερ Ἀβραάμ, ἐλέησόν με καὶ
b πέμψον Λάζαρον ἵνα βάψῃ τὸ ἄκρον τοῦ δακτύλου ὕδατος καὶ καταψύξῃ τὴν γλῶσσάν μου, ὅτι ὀδυνῶμαι ἐν τῇ φλογὶ ταύτῃ. Ἀβραὰμ δὲ εἶπε· τέκνον, μνήσθητι ὅτι ἀπέλαβες σὺ τὰ ἀγαθὰ ἐν τῇ ζωῇ σου καὶ Λάζαρος ὁμοίως τὰ κακά· νῦν δὲ ὧδε παρακαλεῖται, σὺ δὲ ὀδυνᾶσαι. καὶ ἐπὶ πᾶσι τούτοις μεταξὺ ὑμῶν καὶ ἡμῶν χάσμα μέγα ἐστήρικται, ὅπως οἱ ἐνταῦθα διαβῆναι πρὸς ὑμᾶς μὴ δύνωνται μηδὲ οἱ ἐκεῖθεν ὧδε διαπερῶσιν. ἐρωτῶ οὖν σε, πάτερ, ἵνα πέμψῃς αὐτὸν εἰς τὴν οἰκίαν τοῦ πατρός μου· ἔχω γὰρ ἐκεῖ πέντε ἀδελφούς·

16 ff. Lc. 16: 19 ff.

1 *αὐτὸς*] Man erwartet *οὗτος*. Es kann aber sein, dass der Verf. sich nicht genau ausgedrückt hat. Auch Ruf.: »ipse« | **2** *οὐκ ἀγαθός* d. HSS. | **4** *τοῦ δημιουργοῦ* ADEFH, *τοῦ* < d. übr. | **12** *ΑΔ.* < B^1 | **12,13** < A | **21** *δὲ* < AB^1 | **31** *ὧδε* EFH Ruf. Pic., *ὧδε* A^1B^1CD (in mg. *ὅδε*).

uero coactus est a creatore, ipse inuenietur causa salutis hominum qui pati eum compulit.

c. **X.** *Marc. d.*: Nos de scripturis ostendimus quia iste qui uenit Christus non est creatoris, sed boni dei qui et legem creatoris destruxit.

Ad. d.: De quibus scripturis haec ostendere te promittis?

Marc. d.: De euangelio et apostolo. Iudaicis uocibus non acquiesco, quia alterius dei sunt.

Ad. d.: Igitur si ostendero de euangelio et apostolo, desinis blasphemare?

Marc. d.: Quidni? Legi tamen et prophetis non acquiesco, sed solo euangelio.

Ad. d.: Acquiescis euangelio, an non?

Marc. d.: Acquiesco.

Ad. d.: Lego et ostendo quia qui legem non suscipit et prophetas neque euangelium suscipit. Dicit enim Christus ita: *Homo quidam erat diues, indutus purpura et bysso et in epulis cotidie laetabatur. Pauper autem quidam nomine Lazarus iacebat ad ianuam eius ulceribus repletus, desiderans saturari de micis quae cadebant de mensa diuitis; sed et canes uenientes lingebant ulcera eius. Factum est autem ut moreretur mendicus, et ablatus ⟨est⟩ ab angelis in sinum Abrahae. Mortuus est autem et diues et sepultus est in infernum. Eleuans autem oculos suos, cum esset in tormentis, uidit Abraham de longe et Lazarum in sinu eius. Et ipse exclamans dixit: Pater Abraham, miserere mei et mitte Lazarum, ut intinguat summum digiti sui in aqua, ut refrigeret linguam meam, quia crucior in hac flamma. Abraham autem dixit: Fili, recordare quia recepisti bona in uita tua et Lazarus similiter mala; nunc autem hic requiescit, tu uero cruciaris. Et in his omnibus inter uos et nos chaos magnum confirmatum est, ut hi qui hic sunt ad uos uenire non possint, neque qui ibi sunt huc*

3 Der Cod. hat im Text »*Megethius dixit*«, am Rande als Korrektur »*Marcus dixit*« | **3/4** Cod. quia qui uenit iste Chr., mit »a« über quia und »b« über iste. Der Schreiber hat wohl darauf aufmerksam machen wollen, dass er die etwas auffällige Wortfolge in dem von ihm kopierten Cod. vorgefunden habe. Möglich doch auch, dass er sie nach seiner Gewohnheit durch die beiden Buchstaben als unrichtig hat bezeichnen wollen und nur aus Versehen die Stellung derselben verwechselt hat. Sie ist übrigens beizubehalten, da sie der des Grundtextes entspricht. (Die Buchst. a u. b bedeuten, meine ich, dass »quia iste qui venit, Christus« zu lesen sei. — B) | **6** Cod. euangeliis. Ich habe den Plur. in den Sing. verändert, da dieser nachher wiederholt und insbesondere in den gleich darauffolgenden auf Marcus' Äusserung Bezug nehmenden Worten des Adamantius gebraucht ist, da der gr. T. εὐαγγελίον hat, und da endlich die Marcioniten ja nur *ein* Evangelium hatten | **19** Cod. *lingentes* mit einem Strich unten und (w. e. sch., von späterer Hand) *bant* über *entes* | **20** *Est* fehlt im Cod. | (**28** *possunt* ist wohl ein Druckfehler bei Caspari. — B).

ὅπως διαμαρτύρηται αὐτοῖς μὴ καὶ αὐτοὶ ἔλθωσιν εἰς τοῦτον τὸν τόπον τῆς βασάνου. λέγει αὐτῷ· ἔχουσι Μωσέα καὶ τοὺς προφήτας, ἀκουσάτωσαν αὐτῶν. ὁ δὲ εἶπεν· οὐχί, πάτερ, ἀλλ' ἐάν τις ἐκ νεκρῶν πορευθῇ πρὸς αὐτούς, μετανοήσουσιν. ὁ δὲ εἶπεν· εἰ Μωσέως καὶ τῶν προφητῶν οὐκ ἤκουσαν, οὐδ' ἄν τις ἐκ νεκρῶν ἀπέλθῃ ἀκούσουσιν αὐτοῦ. τίς οὖν ἀναστὰς ἐκ νεκρῶν ἐδίδαξε τὰ ἐν τῇ κρίσει εἰ μὴ μόνος ὁ Χριστός; ὅσοι οὖν οὐκ ἐδέξαντο Μωσέα ἢ τοὺς προφήτας οὐδὲ τὸν ἀναστάντα ἐκ νεκρῶν ἐδέξαντο.

MK. Ἐν τῷ ᾅδῃ εἶπεν εἶναι τὸν Ἀβραάμ, οὐκ ἐν τῇ βασιλείᾳ
828 τῶν οὐρανῶν.

AΔ. Ἀνάγνωθι ὅτι οὐκ ἐν τῷ ᾅδῃ | λέγει τὸν Ἀβραάμ.

MK. Ἀπὸ τοῦ συνομιλεῖν αὐτῷ τὸν πλούσιον δείκνυνται ὁμοῦ ὄντες.

AΔ. Τὸ ὁμιλεῖν πρὸς ἀλλήλους ἤκουσας, τὸ δὲ λεγόμενον χάσμα μέγα οὐκ ἤκουσας; τοῦ γὰρ οὐρανοῦ καὶ τῆς γῆς τὸ μέσον χάσμα λέγει.

MK. Δύναται οὖν τις ἀπὸ τῆς γῆς ἕως οὐρανοῦ ὁρᾶν; ἀδύνατον. ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ ἰδεῖν δύναταί τις ἀπὸ γῆς, ἢ μᾶλλον ἀπὸ τοῦ ᾅδου εἰς τὸν οὐρανὸν ὁρᾶν· εἰ μὴ δῆλον ὅτι φάραγξ ἦν ἐν
20 μέσῳ αὐτῶν.

AΔ. Οἱ σωματικοὶ ὀφθαλμοὶ τὰ ἔγγιστα μόνον πεφύκασιν ὁρᾶν,
b οἱ δὲ ψυχικοὶ εἰς μῆκος ἀποτείνονται, καὶ δῆλον ὅτι τὸ σῶμα ἐντεῦθεν ἀποθέμενοι τοῖς τῆς ψυχῆς ὄμμασιν ὁρῶσιν ἀλλήλους. πρόσσχες γὰρ πῶς λέγει τὸ εὐαγγέλιον ὅτι· ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ.
25 * * * * εἰς τὸν οὐρανὸν πέφυκεν ἐπαίρειν καὶ οὐκ εἰς τὴν γῆν.

EYTP. Ὁ Χριστός, ὡς ἐμοὶ δοκεῖ, διδάσκων τὴν διαφορὰν τῶν δικαίων καὶ τῶν ἀδίκων, ἐνταῦθα ὑποτίθεται τὸν πένητα καὶ τὸν πλούσιον. τί γὰρ ἕτερον ἔσται ἡ βασιλεία τῶν οὐρανῶν ἢ δηλονότι ἀγαθόν; ἢ τί ἕτερον ἔσται ἡ γέεννα καὶ ἡ καταδίκη εἰ μὴ κακόν;

4 *μετανοήσωσιν* d. HSS. | **6** *ἄν τις* d. HSS. | *ἀκούσωσι* d. HSS. | **13** *MK.*] Eutr. Pic. | **17** *τῆς* < AH | **17—20** Diese Beweisführung verstehe ich nicht. Rufins Übers. *nisi forte — medio* giebt ebensowenig einen guten Sinn; gewiss war in seinem gr. Exemplar der Text schon verdorben. Man könnte eine Wiederherstellung des Textes versuchen, etwa folgenderweise: *Δύναται οὖν τις ἀπὸ τῆς γῆς ἕως οὐρανοῦ ὁρᾶν; ἀδύνατον. ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ εἶδεν. εἰ μὴ δύναταί τις ἀπὸ γῆς ἢ μᾶλλον ἀπὸ τοῦ ᾅδου εἰς τὸν οὐρανὸν ὁρᾶν, δῆλον ὅτι φάραγξ ἦν ἐν μέσῳ αὐτῶν.* Aber alles bleibt ungewiss, solange sich nicht bessere HSS. finden | **23** *πρόσχες* d. HSS. | **24 25** Das Verb. *πέφυκεν* passt hier m. E. nicht gut. Aus der Vergleichung mit dem lat. Texte geht hervor, dass etwas ausgefallen ist. Ich vermute, dass zu lesen sei: *λέγει τὸ εὐ. ὅτι· ἐπάρας τοὺς ὀφθ. αὐτοῦ. δῆλον ὅτι ὁ ἐπάρας τοὺς ὀφθ. αὐτοῦ εἰς τὸν οὐρανὸν πέφυκεν ἐπαίρειν κτἑ.*

transire. Rogo ergo te, inquit, pater, ut mittas eum in domum patris mei — habeo enim quinque fratres — ut denuntiet eis ne et ipsi ueniant in hunc locum tormentorum. Dicit ei: Habent Moysen et prophetas, audiant eos. At ille dixit: Non, pater, sed si quis a mortuis perrexerit ad illos, tunc poenitebunt. At ille dixit: Si Moysen et prophetas non audierunt, neque, si aliquis a mortuis perrexerit, audiant eum. Quis ergo est qui resurrexit a mortuis et docuit de iudicio, nisi solus Christus? Quicunque ergo non susceperunt Moysen uel prophetas, neque Christum qui resurrexit a mortuis susceperunt.

c. **XI.** *Marc. d.*: In inferno dixit esse Abraham, non in regno coelorum.

Ad. d.: Lege quia ⟨non⟩ in inferno dixit Abraham.

Marc. d.: Ex eo quod locutus est cum diuite non dubitatur quod simul sint.

Ad. d.: Quod loquantur ad inuicem audisti, quod autem chaos magnum medium esse ⟨dicitur⟩ non audisti. Quod inter caelum et terram medium chaos dici [esse] potest.

Marc. d.: Potest ergo aliquis de terra uidere in coelo. Hoc impossibile est. *Ibi* enim, dixit, *eleuauit oculos suos et uidit.* Quodsi de terra in coelo nemo potest uidere, quanto minus de inferno, nisi forte conualle aliquid dicatur in medio.

Ad. d.: Corporei oculi ea tantum quae uicina sunt uident, oculi autem animae in immensum extenduntur. Et illi ergo qui corporeis carebant oculis animae se inuicem uidebantur intuere. Namque modo dicit euangelium quia *Eleuans oculos suos*, (diues *uidit Abraham.* Procul dubio, qui elevat oculos suos*) sursum uersus ad coelum eleuare dicitur. Nam ut ea quae in terris sunt quis uideat, quomodo eleuat oculos?

Eutr. d.: Ut mihi uidetur, Christus, docere uolens differentiam iustorum et iniustorum, speciem quandam introduxit pauperis et diuitis. Quid enim aliud esse probatur regnum coelorum nisi bonum aliquid, aut quid aliud erit gehenna nisi malum aliquid et poena, sicut de euan-

6 audiant] Cod.; Caspari will »audient«, aber es ist möglich, dass Rufin den schon verdorbenen Text vorgefunden und genau übersetzt hat. — B | **12** Cod. legi | Im Cod. ist »non« ausgefallen. Der gr. T. ὅτι οὐκ ἦν ἐν τῷ ᾅδῃ | **16** esse dicitur] Cod. esse. Es läge zunächst, »esset« zu lesen, da das »t« der dritten Pers. Sing. bisweilen im Cod. ausgelassen ist. Allein »esset« lässt sich sprachlich nicht verteidigen und entspricht auch nicht dem vorangehenden Präs. »loquantur«. Diesem und dem τὸ δὲ λεγόμενον χάσμα des gr. T. gemäss habe ich »esse dicitur« emendiert | **17** Cod. cahos | [Esse] — B | **18** Cod. inposibile | **24** Cod. sibi inuicem. »Sibi« scheint durch »uidebantur« hervorgerufen zu sein | »Intuere« kann vulgäre Aussprache für »intueri«, aber auch Activ. sein. S. ob. I c. 1 | **25** Cod. abarham | (**25**/**26** dives — oculos suos. Von dem Gr. des Homoiotel. wegen ausgelassen. — B).

καθὼς ἀνεγνώσθη ἐν τῷ εὐαγγελίῳ· τέκνον, φησί, μνήσθητι ὅτι ἀπέλαβες σὺ τὰ ἀγαθὰ ἐν τῇ ζωῇ σου, καὶ Λάζαρος ὁμοίως τὰ κακά· νῦν δὲ ὧδε παρακαλεῖται, σὺ δὲ ὀδυνᾶσαι. τηλαυγῶς δὲ καὶ τοὺς μὴ πιστεύοντας Μωσεῖ καὶ τοῖς προφήταις, τούτους μηδὲ τῷ ἐκ νεκρῶν ἀναστάντι πιστεύειν ἀπεφήνατο.

ΜΚ. Ἡμεῖς προφήτας καὶ νόμον οὐ δεχόμεθα, οὐδὲ γάρ εἰσι τοῦ ἡμετέρου θεοῦ· δεχόμεθα δὲ τὸ εὐαγγέλιον καὶ τὸν ἀπόστολον.

ΑΔ. Ποῖον ἀπόστολον; πολλοὺς γὰρ ἔσχε ἀποστόλους ὁ Χριστός.

ΜΚ. Παῦλον.

ΑΔ. Πόθεν ἔγνως ὅτι Παῦλος ἀπόστολός ἐστιν; εἰ μὲν γὰρ ἔχεις ἐν τῷ εὐαγγελίῳ τὸ ὄνομα αὐτοῦ γεγραμμένον, δεῖξον. εἰ δ' οὐδαμοῦ ἔχεις τοῦτο γεγραμμένον, πόθεν ἔμαθες ὅτι ἀπόστολός ἐστιν;

ΜΚ. Αὐτὸς ὑπὲρ αὐτοῦ γράφει λέγων· Παῦλος, ἀπόστολος Ἰησοῦ Χριστοῦ.

ΑΔ. Οὐδεὶς περὶ αὑτοῦ μαρτυρῶν ἀξιόπιστός ἐστιν, αὐτὸς γὰρ Παῦλος λέγει ὅτι οὐχ ὁ ἑαυτὸν συνιστῶν ἐστι δόκιμος· οὐδέ τις ἕτερος αὐτῷ ἐμαρτύρησεν οὔτε τὸ εὐαγγέλιον. πόθεν οὖν ὅτι οὗτος ἀπόστολος;

ΜΚ. Ὑμεῖς πόθεν αὐτὸν ἔγνωτε ἀπόστολον; οὔτε γὰρ ἐν τοῖς εὐαγγελίοις ἀναγέγραπται.

ΑΔ. Πρόσταξον ἀναγνωσθῆναι τὰς τῶν ἀποστόλων πράξεις καὶ τὰς ἐπιστολάς, καὶ εὑρήσεις αὐτὸν μαρτυρούμενον, πὴ μὲν ὡς σκεῦος ἐκλογῆς ὑπὸ τοῦ Χριστοῦ ὁμολογούμενον, πὴ δὲ ὑπὸ Πέτρου τοῦ ἀποστόλου γεγραμμένον· κατὰ τὴν σοφίαν, φησί, τὴν δεδομένην τῷ ἀδελφῷ μου Παύλῳ.

ΕΥΤΡ. Δέχεσθε, Μᾶρκε, τὰς τῶν ἀποστόλων πράξεις καὶ μαθητῶν λεγομένων ὡς ἀληθῆ ἢ οὔ;

ΜΚ. Ἡμεῖς πλέον τοῦ εὐαγγελίου καὶ τοῦ ἀποστόλου οὐ δεχόμεθα.

ΕΥΤΡ. Αἱ πράξεις καὶ αἱ ἐπιστολαὶ ποίων ἀποστόλων εἰσίν; μέμνημαι γὰρ ὅτι ἐν τῷ εὐαγγελίῳ ιβ' εἰσὶ καὶ οβ'.

ΑΔ. Τῶν ἐγγεγραμμένων ἐν τῷ εὐαγγελίῳ ἐκείνων εἰσὶ καὶ αἱ πράξεις καὶ αἱ ἐπιστολαὶ καὶ τὰ εὐαγγέλια καί, εἰ βούλει, ἀναγινώσκω πῶς καὶ εὐαγγελίσασθαι ἀπεστάλησαν.

1|**2**] Lc. 16: 25. — **13**|**14**] 2 Cor. 1: 1, Eph. 1: 1, Col. 1: 1. — **16**] 2 Cor. 10: 18. — **22**|**23**] Act. 9: 15. — **24**|**25**] 2 Petr. 3: 15.

3 ὧδε FH, vgl. 827b, ὧδε d übr. | **12** τοῦτο FH in mg. So auch Migne. τοῦτον d. übr. | **17** Ruf. »*quomodo certum est?*« Vielleicht πόθεν οὖν δῆλον | **17**|**18** ὅτι οὗτος] ὁ τοιοῦτος FH Pic. | **29** αἱ vor ἐπιστ. < A | **30** οβ'] ἑβδομήκοντα H.

gelio recitatum est. Ait namque: *Fili, memento quia recepisti bona in uita tua et Lazarus similiter mala. Nunc autem requieseit iste, tu autem cruciaris.* Manifestissime ergo etiam eos, qui non credunt Moysi uel prophetis, declarat neque ei credituros qui a mortuis resurrexit.

c. **XII.** *Marc. d.*: Nos prophetas et legem non recipimus. Neque enim sunt nostri dei. Suscipimus autem euangelium et apostolum.

Ad. d.: Quem apostolum? Multos enim habuit apostolos Christus.

Marc. d.: Paulum.

Ad. d.: Unde nosti quia Paulus apostolus est? Siquidem habes in euangelio nomen eius scriptum, ostende; si uero nusquam habes hoc scriptum, unde didicisti quod apostolus sit?

Marc. d.: Ipse de se scripsit dicens: Paulus apostolus Iesu Christi.

Ad. d.: Nemo de se ipso testimonium ferens fidei dignus est, quia et ipse Paulus dixit: *Non qui se ipsum commendat, ille probatus est.* Si ergo nemo ei testimonium dedit alius, neque euangelium, quomodo certum est quod hic apostolus est?

Marc. d.: Uos unde eum agnouistis esse apostolum, quia neque in uestris euangeliis annotatus est?

Ad. d.: Iube legi actus apostolorum, et inuenies ei dari testimonium, ubi et uas electionis a Christo dicitur, et Petrus dicit apostolus de ipso: *Secundum sapientiam,* inquit, *quae data est fratri meo Paulo.*

Eutr. d.: Suscipitis, Marce, actus apostolorum et epistolas quas dicit eorum?

Marc. d.: Nos praeter euangelium et apostolum nihil aliud recipimus.

Eutr. d.: Actus isti et epistulae quorum apostolorum sunt? Memini namque quod in euangelio duodecim electi sunt discipuli et alii septuaginta duo.

Ad. d.: Illorum sunt, qui in euangelio scripti sunt, actus et epistolae et euangelia. Et, si placet, lego hoc scriptum et quomodo praedicare euangelium missi sunt.

3 »Etiam eos« ist von einer anderen Hand als der des Schreibers mit feinerer und kleinerer Schrift in eine Lücke eingefügt. In dieser stand vielleicht etwas anderes, was ausradiert und mit »etiam eos« ersetzt wurde. Der gr. T. *καὶ τοὺς μὴ πιστεύοντας* | **7** Cod. hebuit, mit »a« über »e« | **20** et P. dic. ap.] So der Cod. Der gr. T. *πλ δὲ ὑπὸ Πέτρου τοῦ ἀποστόλου γεγραμμένον* | **22/23** quas dicit eorum] So der Cod. Schwerlich richtig. »Dicit« müsste entweder auf Petrus gehen oder impersonell aufgefasst werden. Aber in den angef. Worten Petri ist nicht von den Briefen *der Apostel*, sondern nur des Paulus die Rede, und die dritte Pers. Sing. kann in dem an »epistolas« angeschlossenen einfachen Relativsatz »quas dicit« nicht impersonell stehen. Man hat daher wohl »quas dicunt« oder »quae dicuntur« zu lesen. Der gr. Text hat hier etwas ganz anderes. (Vielleicht müssen wir uns bei »dicit« als Subject: Adamantius denken. — B).

ΕΥΤΡ. Ἀνάγνωθι.

ΑΔ. Ἀναγινώσκω ἐκ τοῦ εὐαγγελίου· συγκαλεσάμενος δὲ τοὺς δώδεκα, ἔδωκεν αὐτοῖς δύναμιν καὶ ἐξουσίαν ἐπὶ πάντα τὰ δαιμόνια καὶ νόσους θεραπεύειν, καὶ ἀπέστειλεν αὐτοὺς
829 κηρύσσειν τὴν βασιλείαν τοῦ θεοῦ καὶ ἰᾶσθαι. καὶ ὑποβὰς μετ' ὀλίγον λέγει· ἐξερχόμενοι δὲ διήρχοντο κατὰ πόλεις καὶ κώμας εὐαγγελιζόμενοι καὶ θεραπεύοντες πανταχοῦ.

ΕΥΤΡ. Πῶς, Μᾶρκε, τοὺς μὲν ἀποσταλέντας ὑπὸ Χριστοῦ εὐαγγελίσασθαι καὶ κηρῦξαι οὐ δέχεσθε, οὓς δὲ ἀποδείξεις μὴ προφέρετε,
10 τοῦτον δέχεσθε; καὶ Ματθαῖον μὲν καὶ Ἰωάννην, ὧν καὶ τὰ ὀνόματα ἀναγέγραπται, ἐκφαυλίζετε, οὓς καὶ ὁ Χριστὸς κηρῦξαι καὶ εὐαγγελίσασθαι ἀπέστειλε. Παῦλον δέ, οὗ οὐδεμίαν ἀπόδειξιν ἔχετε, τοῦτον δέχεσθε; καὶ πῶς οὐ γελοῖον; λέγε δὴ τοῦτο· ἐκήρυξαν καὶ εὐηγγελίσαντο ἢ οὔ;

15 *ΜΚ.* Ἐκήρυξαν.

b *ΕΥΤΡ.* Ἐγγράφως ἐκήρυξαν καὶ εὐηγγελίσαντο, ἢ ἀγράφως;

ΜΚ. Ἀγράφως.

ΕΥΤΡ. Σφόδρα ἠλίθιον τοὺς μὲν ἀποσταλέντας κηρῦξαι καὶ εὐαγγελίσασθαι, τούτους ⟨ἀγράφως⟩ κηρῦξαι φάσκειν, τὸν δὲ μὴ ἀπο-
20 σταλέντα Παῦλον ἐγγράφως δεδιδαχέναι φάσκειν. εἰκὸς οὖν ὅτι τοῖς τότε μόνον ἀκούουσι τὴν σωτηρίαν ἐκήρυσσον, τοῖς δὲ μετὰ ταῦτα οὐδεμίαν ἔννοιαν παρέσχον· τὰ γὰρ ἀγράφως λεγόμενα παύεται μετ' ὀλίγον, οὐκ ἔχοντα τὴν ἀπόδειξιν.

ΑΔ. Πῶς δὲ καὶ τὸν Χριστὸν υἱὸν θεοῦ ἴσασιν; ἀποκρινάσθωσαν·
25 εἰ μὲν γὰρ δέχονται τὸν νόμον καὶ τοὺς προφήτας τοὺς προκηρύσ-
c σοντας, εὖ ἂν ἔχοι· ἀπ' ἐκείνων γὰρ ἐκηρύσσετο ὅτι μέλλοι ὁ λόγος τοῦ θεοῦ ἐνανθρωπεῖν καὶ σταυροῦσθαι καὶ σώζειν τὸ γένος τῶν ἀνθρώπων· εἰ δὲ μὴ δέχονται τοὺς προκηρύσσοντας καὶ ὑποδεικνύντας, πόθεν αὐτοῖς γνῶναι ὅτι Χριστὸς Ἰησοῦς υἱὸς θεοῦ ἐστιν;

30 *ΕΥΤΡ.* Πόθεν ἔγνωτε ὅτι υἱὸς θεοῦ ἐστιν;

ΜΚ. Ἀπὸ τοῦ εὐαγγελίου καὶ τοῦ ἀποστόλου.

ΑΔ. Καίτοι ἐν τῷ εὐαγγελίῳ οὐ λέγει αὐτὸν υἱὸν θεοῦ, ἀλλ' υἱὸν ἀνθρώπου.

2—5] Lc. 9: 1, 2. — **6**/**7**] Lc. 9: 6.

13 *δέχεσθε* CDH. *δέχεσθαι* Migne | **19** *ἀγράφως* < d. HSS. Nur hat H es in mg. Schon von Wettst. ergänzt aus d. Übers. des Pic. »*sine scriptis praedicasse*«, vgl. Ruf. | *φάσκειν*] *φάσκεις* ABCFH, »*quod ais*« Pic. | **20** *φάσκεις* d. HSS.

Eutr. d.: Lege.

Ad. d.: Legam de euangelio: *Conuocans autem Iesus duodecim discipulos, dedit eis uirtutem super omnia daemonia et languores curare, et misit eos praedicare regnum dei et curare.* Et post pauca iterum dicit: *Cum autem exissent, egrediebantur per ciuitates et uicos, euangelizantes et curantes ubique.*

Eutr. d.: Quomodo, Marce, eorum quidem qui a Christo missi sunt euangelizare et praedicare non suscipitis scripta, sed eius cuius nomen scriptum non habetis? Nam Matthaeum et Iohannem, quorum nomina scripta sunt, respuitis, quos et Christus miserat praedicare euangelium, Paulum uero, cuius nulla est mentio in euangeliis, hunc recipitis. Non est hoc ridiculum? Dic mihi: Praedicauerunt isti euangelium an non?

Marc. d.: Praedicauerunt.

Eutr. d.: Exstat scriptum quod praedicauerunt, aut sine scriptura?

Marc. d.: Sine scriptura.

Eutr. d.: Ualde mihi uidetur inconueniens esse quod dicis ut hi, qui ad praedicandum missi sunt euangelium, praedicationis suae non reliquerint scriptum, eum uero qui neque missus est ad praedicandum dicis scripta reliquisse. Quodsi illis tantummodo profuerunt, quibus tunc annuntiabant salutem, posteris nihil beneficii praestiterunt. Quod enim sine scriptura dictum est paulo post desinit, quia nullum sui continet monimentum.

c. **XIII.** *Ad. d.*: Quomodo autem etiam Christum filium dei esse norunt? Respondeant. Nam si recipiunt legem et prophetas, qui eum pronuntiauerunt uenturum, manifesta sunt documenta. Illorum namque testimonium est quod uerbum dei uenturum esset in carne atque homo effectus et crucifixus salutem conferret generi humano. Quodsi illorum testimonium non recipiunt qui futurum pronuntiauerunt, unde scire possunt quia Iesus Christus filius dei est?

Eutr. d.: Unde agnouisti, Marce, quia filius dei sit Christus?

Marc. d.: De euangelio et apostolo.

Ad. d.: Equidem in euangelio non se dicit filium dei, sed filium hominis.

3 Cod. *et dedit*. Sollte dies richtig sein, so müsste man »*Conuocauit*« lesen | **5** egrediebantur] So der Cod. Kaum richtig. Es ist wohl »circumgrediebantur« zu lesen. Die Codd. der vorhieron. Überss. haben »circu(m) ibant« und »circum — transibant« | **17** »Ad« steht mit ganz kleinen Buchstaben über der Zeile | **25/26** Caspari setzt nach »illorum« einen Punkt und meint, nach »testimonium« sei »illorum« ausgefallen: manifesta sunt documenta illorum. Namque testimonium ⟨illorum⟩ est. — B | **27** Cod. conferre | **28** qui] Cod. quid | **29** quia] Cod. qui.

ΜΚ. Ἐν τῷ εὐαγγελίῳ λέγει ὁ Χριστός· τίνα με λέγουσιν οἱ ἄνθρωποι τὸν υἱὸν τοῦ ἀνθρώπου; λέγουσιν οἱ μαθηταί· d *Ἰωάννην τὸν βαπτιστήν, ἄλλοι δὲ Ἠλίαν, ἄλλοι δὲ ὅτι προφήτης τις τῶν ἀρχαίων ἀνέστη. εἶπε δὲ αὐτοῖς· ὑμεῖς δὲ* 5 *τίνα; ἀποκριθεὶς δὲ Πέτρος εἶπε· τὸν Χριστόν.*

ΑΔ. Πέτρος. Ἰουδαῖος ὢν καὶ νομομαθής, τὸν ὑπὸ τοῦ νόμου καὶ τῶν προφητῶν κηρυσσόμενον Χριστὸν προσδοκῶν, ἔφη αὐτὸν Χριστόν, ὃν καὶ προήκουσεν.

ΕΥΤΡ. Πέτρος, οὐχ ὡς αὐτὸς τεθεικὼς αὐτῷ τὸ ὄνομα τοῦτο, 10 *οὐδὲ ὡς ξένον, ἀλλ' ὡς ἤδη προακηκοώς, φάσκει τὸν Χριστόν. τοῦτο δέ σου πυθέσθαι βούλομαι· Πέτρος ἐστὶν ὁ γράψας τὸ εὐαγγέλιον; πῶς οὖν ἔφασκες αὐτοὺς ἀγράφως δεδιδαχέναι;*

ΜΚ. Οὐ Πέτρος ἔγραψεν, ἀλλ' ὁ Χριστὸς τὸ εὐαγγέλιον.

ΕΥΤΡ. Ψευδὲς οὖν τὸ ἀναγνωσθὲν ἐν τῷ εὐαγγελίῳ ὅτι τοὺς 15 e *ιβ' ἀπέστειλεν εὐαγγελίσασθαι. ἄλλως δὲ οὐδ' ἀπόδειξιν ἔσχες ὅτι Παῦλος ἀπόστολος ἦν, ἢ ὅτι υἱὸς τοῦ θεοῦ ὁ Χριστὸς λέγεται. πῶς γὰρ οὐκ ἂν εἶεν ἀληθεῖς οἱ ὑπ' Ἀδαμαντίου λεγόμενοι λόγοι; τὰ τάλαι γὰρ ὑποσχεθέντα καὶ πρὶν ἢ γενέσθαι κηρυσσόμενα καὶ πιστευόμενα ἦν προσδοκώμενα.*

20 *ΑΔ. Φάσκει ξένον εἶναι τὸν Χριστὸν καὶ μηδὲ εἰς ἔννοιάν τινος πώποτε ἀφιγμένον· ὁ δὲ Χριστὸς οὐχ οὕτως οὐχ ὁ ὑπὸ τῶν προφητῶν, φησί, κηρυχθείς ἐστιν, ἀλλ' ὁ πᾶσιν ἄγνωστος. ἀναγκαῖον οὖν πρῶτόν ἐστιν ἀκριβῶς ἐξετάσαι τίνι δεῖ πιστεύσαντας οὕτως δέξασθαι τὰ ὑπ' αὐτοῦ προστεταγμένα. οὔτε γάρ, ὥς φασιν, ὑπό* 25 f *τινος τελείως διδάξαντος αὐτοὺς τὰ περὶ αὐτοῦ μαρτυρεῖται, οὔτε μὴν περὶ ἑαυτοῦ λέγων ἀξιόπιστος ἦν ὁ ἄγνωστος, ὡς αὐτὸς εἶπεν· εἰ ἐγὼ περὶ ἐμαυτοῦ μαρτυρῶ, ἡ μαρτυρία μου οὐκ ἔστιν*

1—5] Mt. 16: 13—16, Lc. 9: 19, 20. — **27**] Joh. 5: 31.

5 *δὲ* nach *ἀποκριθεὶς* < ABD | *τὸν* vor *Χρ.* BCDEFGH, < A | **7/8** *αὐτὸν Χριστὸν* ABFH Pic., *Χριστὸν* d. übr. | **11** *ὁ* ABCDFGH, < E u. d. Ausgg. | **15** Es ist ungewiss, ob der Verf. *οὐδ' ἄν* geschrieben hat. Er lässt *ἄν* öfters aus. Vgl. aber das folg. *οὐκ ἂν εἶεν* | **17—19** *τὰ πάλαι — προσδοκώμενα*] Worte ohne Sinn. Der Schluss *καὶ πιστευόμενα ἦν προσδοκώμενα* ist zweifelsohne verdorben. Die Übers. Rufins »*indubitatam — implentur*« deutet auf einen ganz anderen gr. Text. Pic. »*credebantur et sperabantur*«. Es giebt auch in den folgg. Zeilen mehrere unverständliche Stellen; in der alten HS., aus welcher die unsern geflossen sind, war, w. e. sch., eine ganze Seite sehr verstümmelt | **21** *οὕτως* kann nicht richtig sein. ABCDGH haben: *οὐχ οὕτως οὐχ ὁ ὑπὸ τῶν κτέ.* E lässt *ὁ* aus. In *οὐχ οὕτως* verbirgt sich, vermute ich, ein Ptcp., das andeutet: der erschienen ist; *ὁ ἐληλυθὼς* entfernt sich aber weit von der Überlieferung. Pic. übersetzt *οὕτως* »*non est is qui est*«. Ruf. lässt uns hier im Stich | **23** *δέει* d. HSS., *δεῖ* Migne | **24** *προτεταγμένα* CEH | *φησιν* A.

Marc. d.: In euangelio dicit Christus: *Quem me dicunt esse homines. filium hominis? Dicunt ei discipuli: Alii Iohannem baptistam, alii Heliam, alii quia propheta aliquis antiquus surrexit. Dixit autem ad eos: Uos uero, quem me esse dicitis? Respondens Petrus dixit: Tu es Christus.*

Ad. d.: Petrus Iudaeus erat et legem sciebat. Quia ergo exspectabat illum qui a prophetis praenuntiatus fuerat Christum, propterea dixit ipsum esse Christum quem audierat esse uenturum.

Eutr. d.: Petrus numquid quasi ipse ei nomen hoc imponens et proprium aliquod ei uocabulum ascribens, dixit quia *tu es Christus?* Sed uidetur mihi quia hoc eum esse dixerit quod in omnium exspectatione habebatur. Hoc autem uolo a te discere: Petrus est qui scripsit euangelium? Et quomodo dicebas quia nulla doctrinae suae reliquerit monimenta?

Marc. d.: Non Petrus scripsit, sed Christus euangelium.

Eutr. d.: Falsum est ergo quod legistis de euangelio quod miserit duodecim discipulos ad euangelizandum. Sed omittamus haec. Habes aliquid documenti quod Paulus apostolus sit, aut quia filius dei sit Christus? Quodsi non habes, satis uera sunt quae allegat Adamantius. Ea enim quae promissa sunt olim uel, antequam fierent, praenuntiata indubitatam fidem possident cum implentur.

c. **XIV.** *Ad. d.*: Hic e contrario dicit peregrinum esse quendam Christum et incognitum et ne mentem quidem unquam alicuius intrasse. Sed uideamus qui magis fide dignus est, iste quem nemo nouit, an ille qui praenuntiatus est a prophetis; et cum de ipso constiterit, ita demum possumus ea, quae ab eo praecipiuntur, tanquam diuina mandata suscipere. Nam si neque, ut dicunt, aliquis spiritu dei repletus docuit eos de ipso, neque rursum ipse de se si quis praedicet, fide dignus est, maxime si ignotus sit et peregrinus, quomodo ei dicent esse credendum? Non enim cuilibet et ut libet dicenti dignum est credere, etiamsi, ut

8 Cod. impones hoc, mit »b« über impones u. »a« über hoc. Der Schreiber hat den Strich über »e« vergessen | **11** »a te« steht über der Zeile und sieht aus, als wäre es von späterer Hand hinzugefügt | **12** In Casparis Text steht »nullae«, wohl ein Druckfehler. — B | Caspari vermutet: »reliquerint«, gr. *αὐτοὺς*. — B | **21** Hic] Cod. hi | **25** Cod. possimus.

ἀληθής· οὐδὲ γάρ, ὡς ἔτυχεν, ἁπλῶς τινι περὶ ἑαυτοῦ λέγοντι δεῖ πιστεύειν, ἐπεί τοι πᾶσιν ἐξέσται τὸ αὐτὸ ποιοῦσι πιστεύεσθαι, τὸ
830 *δὲ εὐαγγέλιον νομισθείη λόγον ἄγνωστον | μηδὲ ἐλπισθέντα ποτὲ μήτε προσδοκηθέντα κατ' αὐτοὺς κηρῦσσον. πῶς δὲ λέγει τὸν Χριστὸν*
5 *γεγραφηκέναι τὸ εὐαγγέλιον; οὐ γὰρ ὡς περὶ αὐτοῦ ὁ γράψας τὸ εὐαγγέλιον ἐσήμανε, σημαίνει ὃν κηρύσσει Χριστὸν Ἰησοῦν, οὔτε ὁ γράψας περὶ αὐτοῦ μαθών, τοῦτον κηρύσσει τὸν κατ' αὐτοὺς ξένον· οὐδαμῇ γὰρ αὐτῶν ἐστιν εὑρεῖν ὅτι ὁ σωτὴρ ἐδίδαξέ τινα ὅτι· Χριστός εἰμι ξένος.*

ΜΚ. Ὁ Χριστὸς καὶ Παῦλος, εἰ ἦσαν ὑπὸ τοῦ δημιουργοῦ ἀπο-
10 *σταλέντες, οὐκ ἂν κατέλυσαν τὸν νόμον καὶ τοὺς προφήτας.*

ΑΔ. Τίνα τρόπον Χριστὸς λύει καὶ ὁ ἀπόστολος; φρασάτω.

2—4 *τὸ δὲ εὐαγγέλιον — κηρῦσσον*] Wie diese Worte mit den vorangehenden zusammenhängen, ist unklar; *νομισθείη* steht hier wohl für *νομισθείη ἄν* | **4** *κηρύσσων* ABCEFH, *κηρύσσον* Wettst. | **5.6** *οὐ γὰρ — Χριστὸν Ἰησοῦν*] Der Übers. des Ruf. würde *οὐ γὰρ ὡς περὶ αὐτοῦ γράψας ὁ γράψας τὸ εὐαγγέλιον ἐσήμανε ὃν κηρύσσει κτἑ.* entsprechen. Der überlieferte Text kann aber erklärt werden, wenn wir bei *περὶ αὐτοῦ ... ἐσήμανε* an den Prolog des Lucasevang. denken. Wettst. wollte *ἐσήμανε* oder *σημαίνει* streichen | **7** *περὶ αὐτοῦ μαθών*] d. l. R. »legendum videtur *παρ' αὐτοῦ*«, was gewiss einen besseren Sinn giebt | **7** *οὐδαμῇ .. αὐτῶν* verstehe ich nicht. Ruf.'s Übers. legt die Vermutung nahe, dass *ἐν τῷ εὐαγγελίῳ* ausgefallen ist. Der Plur. *αὐτῶν*, wie das einige Zeilen vorangehende *φασι* ist grammatisch nicht berechtigt, kann aber richtig sein: der Verf. dachte an Marcus und seine Glaubensgenossen, die Marcioniten | **8** *εἰμι*] *εἰ μὴ* d. HSS., nur H^2 Pic.: *εἰμι*, C in mg.: *τάχα εἰμι*. Dasselbe vermutete Wettst. | **11 ff.** In allen gr. HSS. und Ausgg.: *Ἀδαμάντιος. Τίνα τρόπον Χριστὸς λύει καὶ ὁ ἀπόστολος φρασάτω τὸν νόμον λύει; τὴν κόλασιν ἀνατρέπει, ἀναιρεῖ τὴν κρίσιν. μηδενὸς οὖν κτἑ.*, sodass *τίνα τρόπον* bis *ὅστις ἂν ᾖ* nur einen Satz bildet, der dem Adamantius gehören soll. Das kann aber nicht richtig sein. Erstens erregt das wiederholte *λύει* Anstoss, zweitens können die Worte *τὴν κόλ. ἀνατρ. κτἑ.* im Munde des Ad. garnicht erklärt werden. Das ist ja die Lehre des Marcioniten Marcus. Auch dem Rufin fiel diese Verwirrung auf und er versuchte, den ursprünglichen Text wiederherzustellen, indem er das Fragezeichen tilgte und folgenderweise übersetzte: *Quomodo Christus soluit legem, uel apostolus, dicat, quomodo soluit legem, negat futurum iudicium, poenas negat peccatoribus inferendas?* Aber dieser Interpretation steht die Partikel *οὖν* im Wege, die Ruf. auch begreiflicherweise ausliess. Dazu kommt, dass für den Adamantius kein Grund vorhanden war zu fragen: *Quomodo Chr. ..... negat futurum iudicium, poenas negat .....*? Marcus wenigstens hatte davon kein Wort gesagt. Dagegen wird alles klar, sobald die Worte *τὸν νόμον λύει — ἀναιρεῖ τὴν κρίσιν* dem Marcus in den Mund gelegt werden. So meinte schon der Unbekannte, der im Cod. C am Rande schrieb: *τάχα λείπει Μᾶρκος*, und nach *κρίσιν*: *Ἀδαμάντιος*. Man könnte einwerfen, dass die Worte *τὸν νόμον λύει*, wenn man sie dem Marcus zuerteilt, eine unnötige Wiederholung bilden, aber dem Stile unseres Buches sind solche Wiederholungen nicht fremd. Vielleicht müssen wir noch einen Schritt weiter gehen, *τὸν νόμον* mit dem Vorhergehenden verbinden und *λύει* streichen, sodass Ad. sagt: *τίνα τρόπον — φρασάτω, τὸν νόμον*, und Marc. antwortet: *τὴν κόλασιν ἀνατρ. κτἑ.*

dicunt, ipse per se euangelium scribat. Quis suscipiet uera esse quae sperari iubentur, nisi manifeste cognoscat pollicentis auctoritatem? Deinde quomodo dicit Christum scripsisse euangelium? Non enim tanquam de se scribens loquitur scriptor euangelii, sed tanquam alium et qui extra se sit praedicans Christum. Sed nec hoc quidem in euangelio eorum scriptum refertur usquam quod ipse saluator docuerit aliquem et dixerit quia Ego sum Christus peregrinus et ignotus.

c. **XV.** *Marc. d.*: Et Christus et Paulus, si essent a deo creatore missi, nunquam utique legem et prophetas destruxissent.

Ad. d.: Quomodo Christus soluit legem uel apostolus? dicat, quo-

6 Cod. referturus quam.

b *ΜΚ. Τὸν νόμον λύει, τὴν κόλασιν ἀνατρέπει, ἀναιρεῖ τὴν κρίσιν.*

ΑΔ. Μηδενὸς οὖν μηκέτι ⟨κολασθησομένου⟩ μήτε κριθησομένου, τίς χρεία φεύγειν ἀπὸ τοῦ δημιουργοῦ μήτε κρίνοντος μήτε ἀπειλοῦντος κολάζειν; καὶ πῶς ἔτι λελυμένων τούτων· οὐαὶ ἐκείνῳ δι' οὗ τὸ σκάνδαλον ἔρχεται; ἢ πῶς· ὁ ταράσσων ἡμᾶς βαστάσει τὸ κρίμα ὅστις ἂν ᾖ;

ΜΚ. Τὰ προστάγματα αὐτοῦ ἀνατρέπει.

ΑΔ. Δῆλον οὖν ὡς τὰ ἐναντία τῶν προστεταγμένων γίνεσθαι βούλεται. ἀλλ' ἐναντίον ἐστὶ τῷ οὐ μοιχεύσεις τὸ μοιχεύειν, τῷ 10 *οὐ φονεύσεις τὸ φονεύειν, ὁμοίως δὲ καὶ τῷ μὴ κλέπτειν τὸ κλέπτειν. εἰκὸς οὖν ὅτι καὶ τὰ λοιπὰ ἐντάλματα ἀνετράπησαν. πῶς οὖν* c *ἀνέτρεψεν ὁ Χριστὸς τὸν νόμον; λεγέτω. ἐν γὰρ τῷ νόμῳ γέγραπται· οὐ μοιχεύσεις, οὐ ψευδομαρτυρήσεις καὶ τὰ ἑξῆς. λεγέτω τοίνυν τί τούτων ἀνέτρεψε; τίνι προστάττει μοιχεύειν, ὃς γε καὶ τὸ μόνον* 15 *ἰδεῖν πρὸς ἐπιθυμίαν ὡς πορνείαν ἀπείρηκε; τίνα φονεύειν ἐκέλευσεν ὁ λέγων μηδὲ ἀντιστῆναι τῷ πονηρῷ ἀνθρώπῳ; τίνα κλέπτειν ἐδίδαξεν ὁ σωτὴρ ἵνα ἀντιπράξῃ τῷ νομοθετήσαντι; ταῦτα γὰρ τὰ προστάγματα τοῦ σωτῆρος οὐκ εἰσὶ ξένα, ἀλλ' ἐκ νόμου καὶ προφητῶν. φάσκει γὰρ ὁ σωτήρ· ἐγὼ δὲ λέγω ὑμῖν μὴ ἀντιστῆναι τῷ* 20d *πονηρῷ, λέγοντος τοῦ παλαιοῦ γράμματος· εἴπατε τοῖς μισοῦσιν ὑμᾶς καὶ βδελυσσομένοις· ἀδελφοὶ ἡμῶν ἐστε. τοῦ νόμου πάλιν λέγοντος· μὴ κλέψῃς, ὁ σωτὴρ ἔλεγε· πώλησόν σου τὰ ὑπάρχοντα καὶ δὸς πτωχοῖς. τὸ δὲ διδόναι τοῖς πτωχοῖς οὐ ξένον ἐστὶ δίδαγμα, ἀλλ' ἐκ τῆς παλαιᾶς διαθήκης προστεταγμένον.* 25 *μὴ ἀπόσχῃ, φησίν, εὖ ποιεῖν ἐνδεῆ ἡνίκα ἂν ἡ χείρ σου ἔχῃ βοηθεῖν, καὶ τὸ ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, ὑπὸ τοῦ σωτῆρος λεγόμενον οὐκ ἔστι ξένον, ἀλλ' ἐν τοῖς προφήταις διεσταλμένον· ἐὰν πεινᾷ ὁ ἐχθρός σου, ψώμιζε αὐτόν, καὶ ἐὰν διψᾷ, πότιζε αὐτόν. καὶ τί δεῖ μηκύνειν τὸν λόγον; φανερῶς γοῦν τοῦ σωτῆρος* 30e *πληρῶσαι ἐλθόντος τὸν νόμον, οὗτοι καταλύειν φάσκουσι.*

ΜΚ. Τοῦτο οἱ Ἰουδαϊσταὶ ἔγραψαν, τὸ οὐκ ἦλθον καταλῦσαι τὸν νόμον ἀλλὰ πληρῶσαι· οὐχ οὕτως δὲ εἶπεν ὁ Χριστός, λέγει γάρ· οὐκ ἦλθον πληρῶσαι τὸν νόμον ἀλλὰ καταλῦσαι.

4/5] Mt. 18: 7. — **5/6**] Gal. 5: 10. — **9/10**] Exod. 20: 13ff. — **19**] Mt. 5: 39. — **20/21**] Jes. 66: 5. — **22/23**] Mt. 19: 21. — **25**] Prov. 3: 27. — **26**] Mt. 5: 44, Lc. 6: 27. — **27—29**] Prov. 25: 21. — **31/32**] Mt. 5: 17.

2 *κολασθησομένου* < d. HSS., jedoch muss entweder dieses oder ein ähnliches Ptcp. ausgefallen sein | **8** *ὡς τὰ*] *ὥστε* d. HSS. | **10** *τῷ κλέπτειν τὸ μὴ κλέπτειν* F, *τῷ μὴ κλέπτειν τῷ μὴ κλέπτειν* B^1, *τὸ κλέπτειν τῷ μὴ κλέπτειν* d. übr. | **13** Ruf. scheint vor *οὐ μοιχεύσεις*: *οὐ φονεύσεις* gelesen zu haben, und vielleicht ist das die richtige LA. | **15** *ὡς πορνείαν*] *καὶ π.* CDE, *ὡς* < B | **25** *εὖ ποιεῖν* D, *εἰποιεῖν* d. übr. | *ἔχει* B | **27** *οὐκ ἔστι* ACFH Pic., *οὐκέτι* d. übr.

modo legem soluit, negat futurum iudicium, poenas negat peccatoribus inferendas? Si nullus iudicabitur, nullus condemnabitur, quid opus fugere a creatore, cum nemo hoc ipsum uindicet quod cum creatore suo quis permanet, nemo condemnet? Quod si nulla dicuntur futura supplicia, his omnibus absolutis, quare *Uae* sit *illi homini, per quem scandalum uenit?* aut quomodo *Qui conturbat nos portabit iudicium, quicunque est ille?*

Marc. d.: Mandata eius infringit.

Ad. d.: Sine dubio tanquam contraria his suis mandatis. Contrarium autem est uerbi causa huic quod dictum est: *Non adulterabis*, adulterare, uel: *Non occides* occidere, similiter et: Non furandum, furari, et cetera his similia, quae utique si infregit, contraria his praecepit ipse mandata. In lege scriptum est: (*Non occides**,) *Non adulterabis, Non falsum testimonium dices* et caetera. Dicat ergo: Quid contrarium praecepit? Numquid iussit adulterium fieri, qui etiam de corde abscidi iubet concupiscentiam? aut occidi aliquem iussit, qui nec resistere quidem iubet malo? Aut numquid aliquem furari docuit saluator, ut contraria legi mandata promulgare uideatur? Immo potius mandata sua de lege et prophetis profert. Ait enim saluator: *Ego autem dico uobis neque resistere malo.* Quod et apud ueteres ita praecipitur in prophetis: *Dicite*, inquit, *his qui uos oderunt et qui exsecrantur uos*: *Fratres nostri estis.* Et iterum, cum lex diceret: *Non furaberis*, et saluator dixit: *Uende bona tua et da pauperibus.* Hoc autem, quod iubet dari pauperibus, non est nouum neque peregrinum a lege, sed et ueteribus est mandatum. Scriptum est enim: *Ne desinas*, inquit, *benefacere egeno, quandocunque habet manus tua.* Et iterum, quod dicit saluator: *Diligite inimicos uestros*, nec hoc nouum est, sed et in prophetis scriptum est quia *Si esurierit inimicus tuus, ciba illum, si sitierit, potum da ei.* Sed quid necesse est sermonem nimium dilatare singula replicando, cum manifestissime saluator non, ut isti dicunt, soluere legem uenit sed adimplere?

Marc. d.: Hoc illi scripserunt qui iudaizabant, hoc est: *Non ueni soluere legem sed adimplere.* Christus autem non ita dixit, sed ita dicit: *Non ueni adimplere legem sed soluere.*

3/4 »cum nemo — condemnet« hat Ruf. unrichtig übersetzt. — B | **12** ipse] Cod. ipsa | **22** Cod. »Uendie« mit einem Strich unter dem »i« | **25** Cod. Non sinas Gewiss corrupt. Man lese: »Ne desinas« oder »ne abstineas«. Die alte lat. Üb. bei Sabatier, Bibl. sacr. vers. ant., hat: »Noli abstinere«. — B.

831 *ΑΔ. Ἐστὶ καὶ τοῦτο τῆς ὑμετέρας τόλμης | ὥσπερ τὰ λοιπὰ καὶ τοῦτο ἐναλλάξαι. ἀλλὰ γοῦν παρίτω ὁ ἀπόστολος ἐλέγχων ὑμῶν τὴν ῥαδιουργίαν.*

ΜΚ. Φανερῶς λέγει ὁ σωτήρ· ἐντολὴν καινὴν δίδωμι ὑμῖν 5 *τὸ καινὸν τῷ παλαιῷ οὐκ ἴσον, λέγει γὰρ πάλιν ὁ σωτήρ· βάλλουσιν οἶνον νέον εἰς ἀσκοὺς νέους καὶ ἀμφότεροι συντηροῦνται. τὸ καινὸν οὐκ ἔστι πλήρωμα τοῦ παλαιοῦ, πάλιν γὰρ λέγει ὁ σωτήρ· οὐδεὶς ἐπιβάλλει ἐπίβλημα ῥάκους ἀγνάφου ἱματίῳ παλαιῷ. οὐκ ἔστι πλήρωμα νόμου οὐδ' ὁ Χριστὸς οὐδ' ὁ ἀπό-* 10 *στολος.*

ΑΔ. Ὅρα, ἱερώτατε Εὐτρόπιε δικαστά, ὅπως τὰ καλῶς διεσταλμένα κακῶς λεξιθηρῶν προφέρει. πρόσταξον ἀναγνωσθῆναι τὸ b *εὐαγγέλιον, καὶ γνωσθήσεται περὶ ποίας ἐντολῆς καινῆς ἐντέταλται ὁ σωτήρ.*

15 *ΕΥΤΡ. Ἀναγνωσθήτω.*

ΑΔ. Ἀναγνώσομαι· ἐντολήν, φησί, καινὴν δίδωμι ὑμῖν ἵνα ἀγαπᾶτε ἀλλήλους, καθὼς ὁ πατὴρ ἠγάπησεν ὑμᾶς.

ΕΥΤΡ. Δῆλον ὅτι τὴν ἀγάπην ὡρίσατο εἶναι καινὴν ἐντολήν.

ΑΔ. Τὸ καινὸν οὐχὶ καὶ ξένον ἐστὶ τοῦ προϋπάρχοντος πα- 20 *λαιοῦ.*

ΜΚ. Τὸ παλαιὸν τοῦ νόμου τοῦ δημιουργοῦ ἐστι, τὸ δὲ καινὸν τοῦ ἀγαθοῦ· οὐδεὶς γάρ, φησίν, ἐπιβάλλει ἀπὸ ῥάκους ἀγνάφου ἐπὶ ἱματίῳ παλαιῷ.

ΑΔ. Πῶς ἔσται τὸ καινὸν ῥάκος τοῦ παλαιοῦ ἱματίου ξένον, 25 *μιᾶς καὶ τῆς αὐτῆς οὐσίας οὔσης προβάτων φύσεως, ἐξ ἧς ὑφαίνονται* c *τὰ ἔρια; ἀλλὰ καὶ ἡ τέχνη ἡ ἐριουργικὴ μία καὶ ⟨ἡ⟩ αὐτὴ ὑπάρχει ἡ ποιοῦσα καὶ τὰ παλαιὰ καὶ τὰ καινά. ἀλλ' οὖν γε καὶ ὁ οἶνος ἐκ τῆς αὐτῆς ἀμπέλου, καὶ ὁ παλαιὸς καὶ ὁ νέος προφέρεται. ἵνα δὲ σαφέστερον ἐπιστήσω ὡς ὅτι οὐδὲν ξένον ἐνετείλατο ὁ σωτὴρ λέγων·* 30 *ἐντολὴν καινὴν δίδωμι ὑμῖν ἵνα ἀγαπᾶτε ἀλλήλους, ἀναγινώσκω τὰ ἐν τῷ νόμῳ διεσταλμένα· ἀγαπήσεις, φησί, κύριον τὸν θεὸν ἐξ ὅλης τῆς διανοίας σου· καὶ δεύτερον· τὸν πλησίον σου ὡς σεαυτόν.*

ΜΚ. Πῶς οὖν ὁ ἀπόστολος λέγει· εἴ τις ἐν Χριστῷ, καινὴ 35 *κτίσις, τὰ ἀρχαῖα παρῆλθεν· ἰδοὺ γέγονε τὰ πάντα καινά;*

4] Joh. 13: 34. — **5/6**] Mt. 9: 17, Mc. 2: 22, Lc. 5: 37. — **8/9**] Mt. 9: 16. — **16/17**] Joh. 13: 34, 17: 23. — **31—33**] Deut. 6: 5, Lev. 19: 18. — **34/35**] 2 Cor. 5: 17.

9 *οὐκ ἔστι*] *Itaque nec Chr. nec ap.* Pic. | *ὁ* vor *Χρ.* < AB, *ὁ* vor *ἀπόστ.* < DE, *ὁ* an beiden Stellen < FGH | **17** *πατὴρ*] *σωτὴρ* H Pic | **18** *δηλονότι* d. HSS. | *ὡρίσαντο* A^1C, *ὡρήσαντο* BE | **22** Vielleicht *ἀγαθοῦ θεοῦ* | **26** *ἐρουργικὴ* ABE | *ἡ* vor *αὐτὴ* < d. HSS. »*eadem*« Pic. | **29** *ὡς ὅτι* ABCFH, *ὡς* d. übr.

Ad. d.: Est et hoc uestrae temeritatis immutare etiam hoc, sicut caetera fecistis. Sed procedat in medio apostolus et falsa uestra conuincet.

c. **XVI.** *Marc. d.*: Manifestissime dicit saluator: *Mandatum nouum do uobis.* Utique nouum ueteri non est aequale. Dicit enim saluator quia *Si mittatur uinum nouum in utres nouos, utraque conseruabuntur.* Et iterum: *Nemo assuit assumentum panni rudis ad uestimentum uetus.* Unde constat quia Christus expletio legis non est neque apostolus.

Ad. d.: Peruidete, quaeso, quomodo ea quae bene scripta sunt male profert captando sermones. Iube legi euangelium, ut cognoscatur de quo mandato nouo saluator praecepit.

Eutr. d.: Legatur.

Ad. d.: Legam. *Mandatum*, inquit, *nouum do uobis: Diligite uos inuicem, sicut pater dilexit uos.*

Eutr. d.: Certum est quia de caritate nouum se dicit dare mandatum.

Ad. d.: Nouum non peregrinum est et alienum ab eo quod praecessit.

Marc. d.: Uetus mandatum legis est creatoris, nouum autem boni dei. *Nemo* enim, inquit, *assuit pannum rudem ad uestimentum uetus.*

